THE COMMENTARY ON AESCHYLUS' PROMETHEUS IN THE CODEX NEAPOLITANUS

By Herbert Weir Smyth

MS. ii. F. 31 in the Biblioteca Nazionale at Naples, commonly called the Farnesianus from its former owner, Cardinal Alessandro Farnese, contains the recension of five plays of Aeschylus by Demetrius Triclinius together with marginal scholia and interlinear glosses. The contents of the MS. are disposed as follows according to the pagination indicated at the upper right hand corner of each recto.[1]

1–3^v Introductory matter on Metre.[2]

1. *ἐπιτομὴ τῶν ἐννέα μέτρων ἐκ τοῦ ἐγχειριδίου Ἡφαιστίωνος.*


2. *ἡμέτερον Δημητρίου τοῦ Τρικλινίου (ἰστέον ὅτι πάντα τὰ μέτρα . . . συμβαίνει τὰ πάθη).*

3. *τοῦ αὐτοῦ περὶ σημείων τῆς κοινῆς συλλαβῆς τῶν ἐντὸς κειμένων τῆς βίβλου (ἐπειδήπερ οἱ πάλαι . . . οὐδὲν δὲ τῶν ἐγκειμένων ἴσασιν).*

3^v–4^v *Γένος Αἰσχύλου καὶ βίος διορθώθη δὲ παρὰ τοῦ σοφωτάτου κυροῦ Θωμᾶ τοῦ μαγίστρου.* 4^v Argument to the *Prometheus;* 5^r–42^v

[1] Another system, which disregards the matter preceding the *Prometheus*, is discovered in the numerals placed underneath the end of the last verse on each recto.

[2] The epitome appears in Ambros. 30, 480, 738, Laur. 31. 4 (a copy of Vat. 1294 before its beginning was lost), Laur. conv. 8, Mutin. ii. C. 8, Neapol. ii. D. 2, Paris. 2713, 2881, Salam. 1. 2. 13, Urb. 142, Vat. 897, and in the princeps of Aristophanes. The two Triclinian tractates are found in conjunction in Ambros. 480, Angel. 14, Baroc. 74, Dresden. Da 21, Da 22, Laur. conv. 8, Monac. 104, Paris. 2713, Salam. 1. 2. 13, Ven. Marc. 478, Vrat. D(Boeckh's Pindar ii. 13–15), Vrat. Rehdigeranus 298, in a MS. (293) in the collection of the Marquis de Rosanbo (Omont. Cat. des man. grecs des départ. p. 70), and in the Aldine Aristophanes. The first of the two appears also in Ambr. 40, and Neapol. ii. D. 2 (without naming Triclinius), the second also in Ambros. 30. 480, 903, Vat. 897. The Tractatus Harleianus 5635 (Gaisford's *Hephaestion* 1. 317), which was ascribed by Westphal, *Metrik* 1^2. 136, to Triclinius, certainly contains Triclinian matter; as do also Ven. Marc. 263 and 531. On the frequent occurrence of these treatises, see Studemund *Jahrb.* 96 (1867) 610, *Anecd. Var.* 1. 91, *Ind. Lect. Vrat.* 1887–88, p. 7, n. 3. Triclinius' teaching concerning the quantity of *α, ι, υ* has been investigated by F. Kuhn, "Symbolae ad doctrinae *περὶ διχρόνων* historiam pertinentes" in *Breslauer Philol. Abhandl.* 6 (1892) 98–115.



Aeschylus, *Prometheus* 791–805

Codex Neapolitanus fol. 32r

Prometheus; 42^{v} Argument to the *Septem* by Thomas Magister; 43^{v}–79^{v} *Septem;* 79^{v}–81^{r} Argument to *Persae* by Thomas Magister; 81^{r}–116^{v} *Persae;* 117^{r} Argument to *Agamemnon;* 117^{v}–158^{v} *Agamemnon* (entire); 158^{v} Argument to *Eumenides;* 159^{r}–173^{v} *Eumenides* 1–581, 173^{v}–176^{v} *Eum.* 647–777, 177^{r}–182^{v} *Eum.* 808–1047.[1]

With the exception of *Pers.* 599–612 (101^{r}) and 613–628 (101^{v}), which have been copied, without scholia and glosses, by another scribe, the MS. is, in general, written in one and the same hand,[2] uniformly elegant but exceedingly minute in the case of scholia and glosses. All the other plays contained in the MS. are perfectly preserved together with the commentary: the folios containing the *Prometheus*, however, have suffered very considerable damage, especially in the lower portion of each leaf, *e.g.* vv. 12, 13, 29, 124. Not until fol. 9^{r} does even the text appear complete, while the marginal commentary shows gaps on nearly every page until the middle of the play. At times only a few letters are visible of an entire scholium. The transcription has been attended by difficulties, not only because of the lacunae, which can only then be conjecturally filled when the loss is relatively small, but also because of the blurred or otherwise defective state of many passages in the photographic copy. That many of these difficulties have been successfully solved is due, in large measure, to the fact that I have been able to avail myself of the palaeographical knowledge of Dr. Earnest Cary, a scholar honorably known for his familiarity with the MSS. of Aristophanes. My pupil, Mr. H. J. Leon, holder of a Harvard Travelling Fellowship on the Sheldon Foundation, has compared the galley-proofs with the original in numerous doubtful passages. For the assistance rendered him by Signori Martini and Bassi I desire to express my grateful acknowledgments. Mr. T. W. Allen, of Queen's College, Oxford, has given me the benefit of his reading of several passages. But the state of the MS. is such that all hope of the restoration of the original must be abandoned at very many places. Where the MS. is torn or illegible, my supplements are indicated by < >; but this method has not been scrupulously followed in the case of single letters the restoration of which was open to no possible doubt. Late spellings and divers minor errors in the lemmata have been left

[1] The lines are numbered according to the edition of Dindorf.

[2] Glosses by another hand occur, in the *Prometheus*, on vv. 75, 143, 221, 853.

unchanged, but minute fidelity in the transcription of scholia and glosses has not been attempted in the case of inconsistencies where the scribe shows now the normal spelling or accentuation, now divergent forms apparently due to carelessness.

Ἡ ὑπόθεσις τοῦ δράματός ἐστι τοιαύτη

Προμηθέως ὡς φιλανθρώπου ἐκ Διὸς κεκλοφότος τὸ πῦρ καὶ δεδωκότος ἀνθρώποις, δι' οὗ τέχνας πάσας ἄνθρωποι εὕροντο, ὀργισθεὶς ὁ Ζεὺς παραδίδωσιν αὐτὸν Κράτει καὶ Βίᾳ, τοῖς αὐτοῦ δῆθεν ὑπηρέταις, καὶ Ἡφαίστῳ, ὡς ἂν ἀγαγόντες πρὸς τὸ Καυκάσιον ὄρος δεσμοῖς σιδηροῖς αὐτὸν ἐκεῖ προσηλώσαιεν· οὗ γενομένου παραγίνονται πᾶσαι αἱ Ὠκεάνειαι νύμφαι πρὸς παραμυθίαν αὐτοῦ, καὶ αὐτὸς ὁ Ὠκεανός, ὃς δὴ καὶ λέγει τῷ Προμηθεῖ, ἵνα ἀπελθὼν πρὸς τὸν Δία δεήσεσι καὶ λιταῖς πείσῃ αὐτὸν ἐκλῦσαι τοῦ δεσμοῦ Προμηθέα· καὶ Προμηθεὺς οὐκ ἐᾷ τὸ τοῦ Διὸς εἰδὼς ἄκαμπτον καὶ θρασύ. καὶ ἀναχωρήσαντος <τοῦ> Ὠκεανοῦ παραγίνεται Ἰὼ πλανωμένη, ἡ τοῦ Ἰνάχου, καὶ μανθάνει παρ' αὐτοῦ ἃ πέπονθε καὶ ἃ πείσεται, καὶ ὅτι τις τῶν αὐτῆς ἀπογόνων λύσει αὐτόν, ὃς ἦν ὁ Διὸς Ἡρακλῆς, <καὶ> ὅτι ἐκ τῆς ἐπαφῆς τοῦ Διὸς τέξει τὸν Ἔπαφον· θρασυστομοῦντι <δὲ> Προμηθεῖ κατὰ τοῦ Διὸς ὡς ἐκπεσεῖται τῆς ἀρχῆς <ὑφ' οὗ> τέξεται <παιδὸς> καὶ ἄλλα βλάσφημα λέγοντι, παραγίνεται Ἑρμῆς <Διὸς πέμψαντος> ἀπειλῶν αὐτῷ κεραυνὸν εἰ μὴ τὰ μέλλοντα <συμβήσεσθαι τῷ Διὶ> εἴπῃ· καὶ μὴ βουλόμενον βροντῇ καταρρα<γεῖσα αὐτὸν ἀφανίζει. ἡ> μὲν σκηνὴ τοῦ δράματος ὑπόκειτ<αι ἐν Σκυθίᾳ ἐπὶ τὸ Καυκάσιον> ὄρος. ἡ δὲ ἐπιγραφὴ τούτου Π<ρομηθεὺς δεσμώτης> . . . Κράτος καὶ Βία . . . Ὠκ<εανός>

. . . μέτρ<ων?> ταῦτα ἡμέτερά ἐστι Δημητρίου τοῦ Τρικλινίου καὶ τἄλλα ὅσα ἔχουσι ἐν ἀρχ<ῇ> στρο<φῶν?>

† ἡ εἴσθεσ<ις τοῦ παρόντος> δράματος ἐκ συστημ<ατικῆς> ἐστι περιό<δου.> οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι πζ', <ὧν τε>λ<ευταῖος> "ὅτῳ τρόπῳ τῆσδ' ἐκκ<υλισθήσῃ> τέχνης." ἐπὶ ταῖς ἀποθέσ<εσι παρά>γραφος, ἐπὶ δὲ τῷ τέλει κο<ρωνὶς> ἀναχωρησάντων τῶν ὑποκρι<τῶν>

Τοῦ αὐτοῦ Μαγίστρου σχόλια

1 *Τηλουρὸν τὸ ὑψηλὸν <μα>κρ<ὸν> ἀφ' οὗ τῆλε καὶ <μακρ>ὰν ὁρᾶν τις δύναται· ἢ τὸ μακρό<θεν> ὁρώμενον. λέγει δὲ τὸν Καύκασον*

† ἐμοὶ τηλουρὸν δοκεῖ λέγειν, οὐχὶ τὸν Καύκασον μακρὸν καὶ ὑψηλὸν ὄντα· οὐ γὰρ ἂν εἶπε τὸ πέδον· πέδον γὰρ ἡ ἐπίπεδος γῆ· ἀλλὰ τὴν παρακειμένην αὐτῷ ἀπὸ τῶν βορειοτέρων μερῶν ἔρημον γῆν, ἐπίπεδόν τε οὖσαν καὶ εἰς

ἄπειρον μῆκος ἐκτεταμένην. ὅτι δὲ τοῦτό ἐστι δηλοῖ διὰ τῶν ἑξῆς. χθονὸς οὖν πέδον λέγει περιφραστικῶς ἀντὶ τοῦ εἰς τὴν γῆν τὴν ἐπίπεδον καὶ μακρὰν τῶν Σκυθῶν

χθονὸς μὲν] ἤγουν εἰς τὴν γῆν τὴν ἐπίπεδον καὶ μακράν   τηλουρὸν] ὑψηλόν, μακρόν   ἥκομεν] ἤλθομεν

Post vers. τὸ προοίμιον συμβουλευτικὸν ἢ προστακτικόν

2 Σκύθην] Σκυθικόν   οἶμον] τὸν   ἄβατον] εἰς ἣν οὐδεὶς βαίνει διὰ τὸ τραχὺ καὶ ἀπῳκισμένον

3 Ἥφαιστε] ὦ   μέλειν] διὰ φροντίδος ἔχειν   ἐπιτολὰς] τὰς ἐντολάς

4 πατὴρ] ὁ Ζεύς   ἐφεῖτο] ἐνετέλλετο   τόνδε] τὸν Προμηθέα

5 ὑψηλοκρήμνοις] ταῖς ὑψηλοὺς κρημνοὺς ἐχούσαις

Τὸν λεωργὸν: τὸν τοῖς λαοῖς ἔργα παρασχόντα διὰ τοῦ πυρός. ἢ τὸν ἄξιον ἔργον καὶ παρανάλωμα λίθων γενέσθαι ὡς κλέπτην καὶ θεῶν παρήκοον

τὸν λεωργὸν] τὸν τοῖς λαοῖς δεδωκότα τὰ ἔργα   ὀχμάσαι] δῆσαι, προσπῆξαι

6 Ἀδάμας ἐστὶ λίθος οὕτω στερρὸς ὡς μὴ δύνασθαι <ὑπὸ τοῦ σιδήρου> τμηθῆναι· αἵματι δὲ τρ<άγου> ἢ λέοντος μαλάσσεται καὶ <οὐ> τέμνεται· ὁ μὲν γὰρ ξηρότ<ητά> ἐστι καὶ πόρους ἔχων several lines obliterated ἀδαμαντίναις] ἤγουν σιδηραῖς, στερραῖς   πέδαισιν] δέσμαις   ἀρρήκτοις] στερραῖς

7 τὸ σὸν γὰρ] πρὸς τὸ ἐρεθίσαι τὸν Ἥφαιστον τοῦτο λέγει   ἄνθος] καλλώπισμα   παντέχνου] δι' οὗ πᾶσαι γίνονται τέχναι   σέλας] ἤγουν τὸ πῦρ περιφραστικῶς   σέλας] τὸ

8 θνητοῖσι] τοῖς ἀνθρώποις   ὤπασεν] παρέσχεν   τοιᾶσδε] τοιαύτης

9 σφε] αὐτόν   δίκην] τιμωρίαν

10 διδαχθῇ] ἤγουν μάθῃ   τυραννίδα] τὴν ἐξουσίαν

11 στέργειν] τιμᾶν   φιλανθρώπου] . . . μεῖον [? δριμεῖα] ἡ λέξις

14 Ante vers. κατασκευή   ἄτολμος] ἀπρόθυμος

15 βίᾳ] βιαίως ἐπιρρηματικῶς   φάραγγι] ἤτοι τῷ ὄρει   δυσχειμέρῳ] κακὸν ἐχούσῃ χειμῶνα διὰ τὸ χιόνι <ἀεὶ καλύπτεσθαι?>

16 Ante vers. βάσις   τῶνδε] ὧν εἴπατε   τόλμαν] ἐπιχείρησιν   σχέθειν] τόλμαν λαμβάνειν

17 Ante vers. γνωμικόν   ἐξωριάζειν] ἀθετεῖν καὶ ἔξω ὥρας καὶ φροντίδος ποιεῖσθαι   πατρὸς] ἤτοι τοῦ Διός· οὗτος γὰρ πατὴρ ἀνδρῶν τε θεῶν τε

18 Ante vers. † προκατάστασις καὶ διήγησις ὧν μέλλουσι ποιήσειν αὐτῷ

Πῶς φασι τὸν Προμηθέα υἱὸν τῆς Θέμιδος, δέον ἀντιστρόφως λέγειν. ἐκ γὰρ προμηθείας καὶ σκέψεως <τὸ> δίκαιον εὕρηται· καί φαμεν ὅτι αἴτιον τὸ δίκαιον τοῦ προμηθεῖσθαι· διὰ τοῦτο καὶ τὸν Προμηθέα Δίκης υἱὸν λέγομεν· ἐπεὶ καὶ ὁ κλινοποιὸς πρῶτον ἔννοιαν λαμβάνει τῆς ἀνθρώπου ἀναπαύσεως· εἶτα ἐπιχειρεῖ καὶ κλίνην ποιῆσαι· καὶ ἔστι <τῷ> μὲν ἔργῳ πρώτη (sic) ἡ κλίνη, <τῇ δὲ δι>ανοίᾳ ἡ τοῦ ἀνθρώπου ἀνάπαυσις τῆς] ἀποστροφὴ τὸ σχῆμα ὀρθοβούλου] τῆς ὀρθὰ καὶ ἀληθῆ βουλευομένης αἰπυμῆτα] μεγαλόβουλε

19 δυσλύτοις] ἤγουν ἰσχυροῖς χαλκεύμασιν] ἤγουν σιδηροῖς δεσμοῖς

20 προσπασσαλεύσω] προσηλώσω τῷδ' ἀπανθρώπῳ] τῷ τῶν ἀνθρώπων ἀποτυγχάνοντι πάγῳ] πάγος τὸ ὄρος καὶ ὁ πα<γε>τὸς ἀπὸ τοῦ π<ηγν>ύω πάγῳ] ὄρει

21 ἵν'] ὅπου φωνὴν] ἀκούσῃ δηλονότι του] τινός

22 ὄψει] θεάσῃ

Σταθεύειν φασὶν 'Αττικοὶ <τὸ κατὰ> μικρὸν κᾴεσθαι, ἀπὸ τοῦ <ἵστημι στή>σω καὶ τοῦ αἴθω . . . εὔω τὸ <φλογίζω> σταθευτός] φλογιζόμενος

φοίβῃ φλογὶ] λαμπρᾷ, καυστικῇ, τὸ ἁπλοῦν ἀντὶ τοῦ κτητικοῦ

23 χροιᾶς] τοῦ εἴδους ἀμείψεις] μεταβαλεῖς ἤτοι μέλας ἔσῃ ἄνθος] τὴν λαμπρότητα ἀσμένῳ] χαίροντι

24 ἡ ποικιλείμων νὺξ] ἡ ποικίλον ἔνδυμα ἔχουσα διὰ τὸ πεποικίλθαι τοῖς ἄστροις φάος] ἤτοι τὴν ἡμέραν

25 πάχνην] δρόσον ἑῴαν] πρωινήν σκεδᾷ] σκεδάσει κατ' ἀντιχρονισμόν

26 τοῦ παρόντος] τοῦ ἐνισταμένου σοι ἀχθηδὼν] τὸ βάρος

27 τρύσει] δαμάσει ὁ λωφήσων] ὁ παύσων σε τούτου· ἔστι δὲ . . . οὐ πέφυκε] οὐκ ἐγεννήθη πω] ἀκμήν

28 τοιαῦτ'] <ἐν ἤ>θει <ὁ λό>γος ἀπηύρω] ἤγουν ἀπέλαυσας

30 ὤπασας] παρέσχες δίκης πέρα] ἐπέκεινα τοῦ δικαίου. ὃ γὰρ οὐκ ἐβούλετο Ζεὺς ἄδικόν τε ἦν καὶ παράνομον

31 ἀνθ' ὧν] ἀντὶ τούτου

Δέον ἀτερπῶς εἰπ<εῖν, ἀτερπῆ> πρὸς τὴν πέτραν ἐπήνεγκε. τὸ δὲ φρουρήσεις ἀ<ντὶ τοῦ φυ>λάξεις καὶ περὶ αὐτὴν <μενεῖς> ἀτερπῆ] ἀηδῆ

φρουρήσεις] φυλάξεις

32 ὀρθοστάδην] ὀρθὸς ἱστάμενος

33 ὀδυρμοὺς] φωνὰς γοεράς   ἀνωφελεῖς] δέον ἀνωφελεῖ εἰπεῖν, ἀνωφελεῖς εἶπε πρὸς τὸ γόους

34 φθέγξῃ] λέξεις   δυσπαραίτητοι φρένες] ἀμετάτρεπτοι καὶ δυσκόλως πρὸς συμπάθειαν ἔχουσαι· παραίτησις γὰρ ἡ συγγνώμη

35 τραχὺς] ἀκαμπής, σκ[λ]ηρός, ἀπηνής   νέον] νεωστί   κρατῇ] καθὰ καὶ Ζεύς

36 εἶεν] ἔστω ταῦτα οὕτως   κατοικτίζῃ] κατελεεῖς   μάτην] ματαίως καὶ ἀκαίρως

37 ἔχθιστον] μισητόν   στυγεῖς] μισεῖς

38 θνητοῖσι] τοῖς ἀνθρώποις   γέρας] ἤτοι τὸ πῦρ

Γέρας: ἤτοι τὸ πῦρ· τοῦτο γὰρ ἀνατέθειται Ἡφαίστῳ . . . πάλιν ἐπεγείρει . . .

39 τὸ συγγενές] ἤτοι ἡ συγγένεια   δεινὸν] μέγα πρὸς οἶκτον ἐγεῖραί τινα   ὁμιλία] ἡ πρώην συναναστροφή   Post vers. ὡραῖον

40 σύμφημ'] συνομολογῶ   ἀνηκουστεῖν] παρακούειν   πατρὸς] τοῦ Διός

41 οἷόν τε] πῶς οἷόν τε   τοῦτο] τὸ παρακούειν   δειμαίνεις] φοβῇ   πλέον] τῆς συγγενείας

42 νηλὴς] ἀπηνής, ἀνηλεής   καὶ θράσους] ἤγουν θρασύς   πλέως] πεπληρωμένος

43 ἄκος γὰρ] ναί τοιοῦτός εἰμι. | ὠφέλεια, θεραπεία

44 ὠφελοῦντα] . . . τοῦτον

45 μισηθεῖσα] ὑπ' <ἐμοῦ>   χειρωναξία] . . . βάναυσος τέχνη· λέγει δὲ τὴν . . .

46 νιν] αὐτήν   στυγεῖς] μισεῖς

47 παρόντων] τῷ Προμηθεῖ   τέχνη] ἡ σή

48 ἔμπας] ναὶ ὅμως   τίς] τῶν θεῶν   ὤφελε] εἴθε ἔμελλεν
λαχεῖν] κληρώσασθαι

49 Εἰπόντος Ἡφαίστου περὶ τῆς αὐτοῦ τέχνης ὡς εἴθε ταύτην ἔλαχεν ἕτερος, τὸ Κράτος φησὶν ὡς ἅπαντα ἐπράχθη καὶ ἐγεγόνει τοῖς θεοῖς πλὴν τοῦ κοιρανεῖν καὶ ἄρχειν· τουτέστιν ἅπαντα δέδοται τοῖς θεοῖς, ὅπλα μὲν Ἄρει, Ἀρτέμιδι δὲ τόξα, Ἀπόλλωνι δὲ μουσική, σοὶ δὲ ἣν ἔχεις τέχνην, καὶ ἕτερα ἑτέροις· τὸ δὲ βασιλεύειν μόνο<ς> ὁ Ζεὺς ἐκληρώσατο· ἐπεὶ οὖν <οὕτω> ταῦτ' ἔχει, ἀνάγκη <καὶ σοὶ> ἥνπερ ἔλαχες <τέχνην <στέργ>ειν καὶ τὰ παρὰ <τοῦ Διὸς ἐπιτε>ταγμένα σοι <ἐκτελεῖν>   ἐπράχθη] ἐγεγόνει, ἐδόθη τοῖς θεοῖς παρὰ τοῦ Διός   πλὴν θεοῖσι] χωρὶς τοῦ κοιρανεῖν   κοιρανεῖν] ἄρχειν

50 *οὔτις ἐστὶ πλὴν*] *οὐδεὶς ἄλλος· ἀλλὰ πάντες δοῦλοι αὐτοῦ*

51 *ἔγνωκα*] *γινώσκω ὅτι οὕτως ἔχει ταῦτα* *τοῖσδε*] *τοῖς πραχθεῖσι*

52 *ἐπείξῃ*] *σπουδάσεις* *περιβαλεῖν*] *περιθεῖναι*

53 *ἐλινύοντα*] *βραδύνοντα* *προσδερχθῇ*] *θεάσηται* *πατήρ*] *ὁ Ζεύς*

54 *ψάλλια*] *τὰ δεσμά* *δέρκεσθαι*] *ὥστε βλέπεσθαι* *πάρα*] *πάρεισι*

55 *νιν*] *αὐτά* *ἀμφὶ*] *περὶ* *χερσὶν*] *αὐτοῦ* *ἐγκρατεῖ σθένει*] *ἰσχυροτάτῃ δυνάμει*

56 *ῥαιστῆρι*] *ἐν σφύρᾳ* *θεῖνε*] *τύπτε* *πασσάλευε*] *προσήλου* *πρὸς*] *ἐν ταῖς*

57 *περαίνεται*] *τελεῖται* *ματᾷ*] *ματαιάζει*

58 *ἄρασσε*] *πλῆττε* *μᾶλλον*] *ἤγουν μεῖζον* *μηδαμῇ χάλα*] *ἐν οὐδενὶ μέρει τῶν δεσμῶν ὕφεσιν δίδου*

59 *δεινὸς*] *ἐπιτήδειος*

60 *<ἄρ>ηρεν*] *ἥρμοσται*

61 *τήνδε*] *τὴν ἑτέραν* *νυν*] *δή*

62 *σοφιστὴς*] *ἀπατεών* *νωθέστερος*] *ἤγουν ἐλάττων, φαυλότερος*

Ἵνα μάθῃ: τουτ<έστιν ἵνα γνῷ> ὡς εἰ καὶ τὸν Δία ἀπα<τᾷ καὶ σοφίζεται>, ἀλλ' οὐδέν τι τελέσαι <δύναται>, ἐλάττων τούτου τυγχάνων. ἢ <οὕτω> νόει· ἵνα μάθῃ νωθέστερον καὶ ἀμελέστερον καὶ ῥᾳθυμότερον ἔχειν πρὸς τὸ τὸν Δία σοφίζεσθαι. τουτέστιν ἵνα <παντελῶς> ἀφίστα[τ]αι <τοῦ> ποιεῖν τοιαῦτα πρὸς αὐτόν. ἀν<τὶ δὲ τοῦ> εἰπεῖν εἶναι, πρὸς μετοχὴν ἔτρεψεν, ὢν εἰπών, ὅπερ ἐστὶ κρεῖττον.

† *σοφὸς ὀφείλων εἰπεῖν ἐλάττων τοῦ Διός, ὁ δὲ σοφιστὴς εἶπε διὰ τὸ ἀπατῆσαι τὸν Δία ἐν τῇ διανομῇ τοῦ βοὸς ὡς εἴρηται· οὐ γὰρ ἂν ἔχῃ καλῶς ἀπατεῶνα τὸν Δία λέγειν, ἵνα οὗτος εἴη ἐκείνου νωθέστερος*

63 *οὐδεὶς ἐνδίκως*] *οὕτως αὐτὸν ἀσφαλῶς προσήλωσα*

64 *ἀδαμαντίνου*] *σιδηρᾶς ἢ στερροτάτης* *νυν*] *δή* *σφηνὸς*] *τοῦ ἥλου* *γνάθον*] *ἤτοι τὸ στόμα* *αὐθάδη*] *ἀπηνῆ καὶ θρασεῖαν ὡς ἀκμαίαν καὶ ὀξεῖαν*

65 *διαμπὰξ*] *διόλου* *πασσάλευε*] *διαπέρα* *ἐρρωμένως*] *ἰσχυρῶς*

66 *αἶ αἶ*] *φεῦ* *Προμηθεῦ*] *ὦ* *ὑπερστένω*] *στενάζω* *πόνων*] *μόχθων*

67 *αὖ*] *δή* *κατοκνεῖς*] *ὀκνηρῶς διάκεισαι πρὸς τὸ ἔργον*

68 *ὅπως*] *σκόπει* *οἰκτιεῖς ποτε*] *ὅταν σε ὁ Ζεὺς οὕτως ἔχοντα ἰδὼν τιμωρήσηται*

69 θέαμα] θεωρίαν   δυσθέατον] δυσθεώρητον

70 κυροῦντα] ἐπιτυ[γ]χάνοντα   ἐπαξίων] τῶν ἀξίων

71 ἀμφὶ] περὶ   μασχαλιστῆρας] διαζώσματα

72 δρᾶν] πράττειν   ἀνάγκη] ἐστί   ἐγκέλευ'] πρόστατπε ἄγαν] λίαν

73 ἦ] ὄντως   κελεύσω] προστάξω   κἀπιθωΰξω γε πρός] καὶ πρὸς τούτῳ ἐπεμβριμήσομαι

74 Ἐπειδήπερ ἄν<ω περὶ τὰς πλευρὰς> μασχαλιστῆρας π<εριέβαλεν>, ἔδει δὲ καὶ πρὸς τοὺς πό<δας τοῦτο> ποιῆσαι <διὰ> το . . . φησιν <ὡς ἐπειδὴ> ἄνω κα . . . προσ<ηλω?> . . . χώρειν . . . (uncertain how many lines are lost)   κίρκωσον] κρίκοις περίβαλλε διὰ τὸ μέτρον βίᾳ] ἰσχύι

75 πέπρακται] ἐπράχθην (by another hand]   οὐ μακρῷ] ἀλλὰ συντόμως

76 ἐρρωμένως] ἰσχυρῶς   θεῖνε] τύπτε   διατόρους] διαπεπερασμένας τοῖς ἥλοις, ἢ μεγάλας

77 Supra vers. ὁ ἐ<ξεταστὴς καὶ εὐθύνας ἐπάξω>ν, εἰ φαῦλα φωράσεται, χαλεπός

78 ὁμοῖα] ὅμοια Ἀττικῶς   γηρύεται] βοᾷ

79 μαλθακίζου] ταπεινός, μαλθακὸς γίνου   αὐθαδίαν] Ἰωνικὴ ἡ συστολή

80 ἡμέτ<ερον> † τραχύτητα γράφε μὴ θρασύτητα. τοῦτο <γὰρ ἔχει> τὸ α μακρόν, ἐκεῖνο δὲ βραχύ   'πίπλησσε] ὀνειδιστικῶς πρόφερε

81 στείχωμεν] ἀπέλθωμεν   κώλοισιν] τοῖς ποσίν, ἢ τοῖς μέλεσι πᾶσιν, τουτέστιν ἅπαν τὸ σῶμα αὐτοῦ προσήλωται   ἀμφίβληστρ'] δεσμά· ἀμφίβληστρον δὲ τὸ δίκτυον

82 ἐνταῦθα νῦν ὕβριζε] ἤγουν τούτοις συνὼν τοῖς δεσμοῖς θρασύνου καὶ μεῖζον τῶν θεῶν φρόνει

83 συλῶν] κλέπτων   ἐφημέροισι] τοῖς θνητοῖς   προστίθει] πρὸς τοῖς ἄλλοις οἷς ἔχουσι καὶ τοῦτο δίδου αὐτοῖς

84 οἷοί τε] δυνατοί   θνητοί] οἱ ἄνθρωποι   ἀπαντλῆσαι] ἐλευθερῶσαί σε

85 ψευδωνύμως] ἤγουν ψευδῶς   δαίμονες] οἱ θεοί

86 ἡμε . . . σύ>νταξιν· τοιαύτη γὰρ <ἐστι καὶ> τὸ παρ' Ὁμήρῳ χρεὼ <βουλῆς> ἐμέ τε καὶ σέ· <δοτικὴν γὰρ> ἔδει εἰπεῖν· νῦν δὲ <πρὸς> αἰτιατικὴν ἐπήνεγκε πρὸς <τὸ ἐπ>αγόμενον· συνάγεται γὰρ . . . αὐτὸν δεῖ

προμηθεύσασθαι . . . καλοῦσιν] ὀνομάζουσιν δεῖ] χρεία ἐστί προμηθέως] ἤγουν προμηθεύσασθαι

87 τρόπῳ] μηχανῇ ἐκκυλισθήσῃ] ἐκπεσῇ, ἐλευθερωθήσῃ τέχνης] ἤτοι τῶν δεσμῶν

88 <† ὦ δῖος αἰ>θήρ: <ἡ> μονοστρο<φικὴ αὕτη περίοδος> στίχων καὶ <κώλων ἐστὶ> <μ>ά, ὧν οἱ <α′ β′ γ′> δ′ ϵ′ <ἰαμβικοὶ τρί>μετροι ἀκατάληκτοι· <τὸ ς′ δί>μετρον ἀκατάληκτον. <οἱ ἑξῆς ζ′> ἀναπαιστικοί, τὸ δ′ ("δεσμὸν ἀεικῆ") μο<νόμετρον, τὰ δὲ>λοιπὰ δίμετρα ἀκατά<ληκτα· τὸ ζ′> μόνον καταληκτικὸν <ἐφθη>μιμερές, ὃ καλεῖται <παροι>μιακόν. οἱ ἑξῆς ιγ′ <ἰαμβικ>οὶ αὖθις τρίμετροι . . . (several lines lost)

δῖος] ἔνδοξος αἰθήρ] πῦρ πνοαί] τὸν ἀέρα λέγει ταχύπτεροι πνοαί] ἤγουν ταχεῖαι· ἢ αἱ τάχος τοῖς πτεροῖς τῶν ὀρνέων παρέχουσαι

89 ποταμῶν τε πηγαί] διὰ τούτων τὸ ὕδωρ καλεῖ ποντίων] θαλασσίων

90 ἀνήριθμον] ἄπειρον γέλασμα] διάχυμα, πλάτος ἀνήριθμον γέλασμα] ἐκ μεταφορᾶς τῶν γελώντων· οἱ γὰρ γελῶντες ἐξήπλωνται παμμῆτόρ τε γῆ] ἡ πάντων μήτηρ καὶ τροφός, ζώων τε λέγω καὶ σπερμάτων καὶ ἀνθρώπων

91 πανόπτην] τὸν πάντ' ἐφορῶντα. Ὅμηρος "Ἥλιος " ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις " (Γ 277) κύκλον ἡλίου] ἤγουν τὸν ἥλιον περιφραστικῶς

92 ἴδεσθε) θεάσασθε θεός] ὢν δηλονότι

93 δέρχθηθ'] ἴδετε αἰκίαισιν] τιμωρίαις

94 διακναιόμενος] διακοπτόμενος καὶ προσταλαιπωρῶν μυριετῆ] τὸν πολυετῆ

95 ἀθλεύσω] μετ' ἄθλου καὶ κακότητος διάξω

96 ταγὸς] ὁ ἡγεμὼν ἤγουν ὁ Ζεύς μακάρων] τῶν θεῶν ἐξεῦρ'] ἐμηχανήσατο

97 δεσμὸν] ἤγουν τιμωρίαν ἀεικῆ] ἀπρεπῆ

98 τὸ παρὸν] τὸ ἐνιστάμενον ἐπερχόμενον] τὸ μέλλον

99 πῆ] ποῦ ἢ ἐν ποίῳ καιρῷ ποτε] ἄρα μόχθων] πόνων ἤτοι τῆς τιμωρίας

100 τέρμα] τέλος χρὴ] ἀπόκειται ἐπιτεῖλαι] φανῆναι

101 καίτοι] ἐπιδιόρθωσις τὸ σχῆμα φημι] τοῦτο προυξεπίσταμαι] προγινώσκω

102 Σκε<θρῶς:] the scholion of five lines is obliterated except for a few words σκεθρῶς] ἀκριβῶς ποταίνιον] ἀπροσδόκητον, ἄγνωστον, νέον

103 Ante vers. γνωμικόν   πῆμ'] πάθος   ἥξει] ἐπέλθοι   πεπρωμένην] τὴν μεμοιρασμένην παρὰ τῶν Μοιρῶν   χρή] πρέπει

104 αἶσαν] μοῖραν   φέρειν] ἐμέ   ὡς ῥᾷστα] λίαν εὐκόλως

105 ἀνάγκης] τῆς βίας ἤτοι τῆς μοίρας   ἀδήριτον] ἄμαχον   σθένος] ἤγουν ἡ δύναμις

106 'Αλλ' οὔτε σιγᾶν: <ἔξεστί μοι τάσδε>τὰς τύχας λέγειν <τε καὶ σιγᾶν>· σιγᾶν μὲν ὅτι μὴ <βουλομένου> τοῦ Διὸς τὸ πῦρ ἔκλεψα, <λέγειν δὲ> ὅτι τοῖς βροτοῖς γέρα παρέσχον καὶ πρὸς αὐτοὺς ἐφιλανθρωπευ<σάμην> δούς τε τὸ πῦρ καὶ πά<νθ' ὅσα> προσῆκέ σφας <εἰδέναι διδάξας>   οὔτε σιγᾶν] ἀλλὰ βοᾶν· ἀλγῶ γάρ   μὴ σιγᾶν] λέγων γὰρ ταύτας παραμυθίαν λήψομαι   τύχας] δυστυχίας

107 τάσδ'] <ἃς πά>σχω   θνητοῖς] τοῖς ἀνθρώποις   γέρα] τιμάς

108 ἐνέζευγμαι] ἐνεβλήθην, ὑπῆλθον

110 <Πηγὴν κλοπαίαν εἶπεν> ὅτι πᾶσ<α οὐσία> μείωσιν δέχεται· τὸ δὲ πῦρ, κἂν <τὸ τυ>χὸν εὑρεθῇ, ἤτοι σμικρό<τατος σπινθὴρ . . .> δὲ ὕλῃ τινὶ <αὔξεται πάλιν>. πηγὴν οὖν<εἶπε πυρὸς ὅτι> πάλιν αὔξεται <πολὺ ἐ>κ μικροῦ. δέον δὲ εἰπεῖν κλοπαίως, κλοπαίαν εἶπε πρὸς τὸ πηγήν· τοιοῦτον δέ ἐστι καὶ τὸ ναρθηκοπλήρωτον· ὤφειλε γὰρ εἰπεῖν ἐντὸς νάρθηκος· ἔστι δὲ τὰ τοιαῦτα ὀνόματα, τό τε κλοπαίαν τό τε ναρθηκοπλήρωτον, οἱονεὶ ἐπεξήγησις τοῦ θηρῶμαι. εἰπὼν γὰρ θηρῶμαι πηγὴν πυρὸς ὤφειλεν εἰπεῖν καὶ τίνα τρόπον ἐθηράσατο   πηγὴν] ῥίζαν καὶ ἀρχήν   κλοπαίαν] ποταπήν;

111 πέφυκε] ὑπάρχει   πόρος] πορισμός

112 Τοιῶνδε ἀμπλακημάτων ποινὰς ἔδει εἰπεῖν, νῦν δὲ πρὸς τὸ ποινὰς τὴν σύνταξιν ἀποδέδωκεν   ποινάς] τιμωρίας   ἀμπλακημάτων] ἁμαρτημάτων   τίνω] δίδωμι

113 ὑπαίθριος] ἀσκεπής   δεσμοῖσι] ἐν   πασσαλευμένος] προσηλωμένος

114 ἆ ἆ ἔα ἔα] ἐπιρρήματα ἐκπληκτικά

115 ἀχώ] ἦχος   ὀδμά] ἴσως δὲ αἱ 'Ωκεανίδες ὀσμὴν ἔπνεον εὐωδίας   προσέπτα] προσῆλθε   ἀφεγγής] ἀθέατος

116 θεόσσυτος] ἐκ θεοῦ ὁρμηθεῖσα ἤγουν θεία   βρότειος] ἀνθρωπίνη   κεκραμένη] μεμιγμένη ἤγουν ἡρωϊκή

117 ἵκετο] ἀφίκετο   τερμόνιον] ἔσχατον, ἀκρότατον τῆς γῆς   πάγον] τὸ ὄρος

118 θεωρός] θεατής   ἢ τί δὴ θέλων] ἤγουν διὰ τί ἄλλο ἐνταῦθα ἀφίκετο ἢ διὰ τοῦτο

119 *ὁρᾶτε*] *πρὸς τὴν ὑποληφθεῖσαν αὐτῷ φαντασίαν τοῦτο λέγει* *δύσποτμον*] *δυστυχῆ*

121 *δι' ἀπεχθείας ἐλθόνθ'*] *διὰ μίσους ἐλθόντα ἤγουν μισηθέντα* *ὁπόσοι*] *ἐκείνοις*

122 *εἰσιχνεῦσι*] *εἰσπορεύονται*

123 *λίαν φιλότητα*] *τὴν πολλὴν φιλίαν ἣν πρὸς αὐτοὺς* <*εἶχον*>

125 *πέλας*] <*πλησ*>*ίον* *ἐμοῦ* *οἰωνῶν*] *ὀρνέων* *ἐλαφραῖς*] *μαλακαῖς, ἠρέμα γὰρ ἐπέτοντο ὡς παρθένοι*

126 *πτερύγων*] *'Ωκεανίδες πτερωταὶ γὰρ ἦσαν* *ῥιπαῖς*] *ὁρμαῖς* *ὑποσυρίζει*] *ὑπηχεῖ*

127 *φοβερὸν τὸ προσέρπον*] *ἤγουν φοβοῦμαι πᾶν τὸ ἐπερχόμενον*

128 Ante vers. *στροφὴ κώλων ιβ'* Post vers. *ἀλλοιόστροφα ἡμέτερα* (referring to the following two scholia)

† *μηδὲν φοβηθείς* (sic): *τὰ τοιαῦτα εἴδη καλεῖται ἀνομοιόστροφα. ἀνομοιόστροφα δέ ἐστιν, ὡς 'Ηφαιστίων φησίν* (69.10), *ὅσα πάντως διαιρεῖται ἢ κατὰ πρόσωπον ἀμοιβαῖον ἢ χοροῦ πρὸς ὑποκριτὴν ἀπόκρισιν. καὶ διαιρεῖται εἰς δύο ἢ εἰς πλείω· εἰ μὲν οὖν εἰς δύο διαιρεῖται, καλεῖται ἑτερόστροφον· εἰ δὲ εἰς πλείω, ἀλλοιόστροφον* (cf. 69.12). *εἰσὶν οὖν τὰ παρόντα ἀλλοιόστροφα. τῆς πρώτης οὖν ταυτησὶ στροφῆς, τὰ κῶλα ιβ'.*[1] *τὸ α' χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου τρίτου καὶ χοριάμβου. τὸ β*$^{\textit{τερόν}}$ *ἰαμβικὸν πενθημιμερές. τὸ γ' ὅμοιον ἐφθημιμερές, τοῦ πρώτου ποδὸς ἀναπαίστου. τὸ δ' ἰωνικὸν ἀπ' ἐλάσσονος τρίμετρον βραχυκατάληκτον, ἐξ ἰωνικοῦ παίωνος τρίτου καὶ σπονδείου. τὸ ε' ὅμοιον τῷ α', ἐκ διϊάμβου καὶ χοριάμβου διὰ τὴν ἀδιάφορον. τὸ ς' προσοδιακὸν τρίμετρον βραχυκατάληκτον, ἐκ χοριάμβου παίωνος τρίτου ἀντὶ ἰωνικοῦ καὶ τροχαίου. τὸ ζ' ὅμοιον τῷ ε'. τὸ η' ὅμοιον τῷ β*$^{\textit{τέρῳ}}$*. τὸ θ' ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον καταληκ*<*τικόν*>*, ἐκ παίωνος τρίτου ἀντὶ ἰωνικοῦ καὶ* <*τῆς*> *συζυγίας καταληκτικῆς ἤτοι κρητικοῦ, ὅς ἐστιν ἀμφίμακρος· εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, τοῦ α' ποδὸς ἀναπαίστου. τὸ ι', εἰ καὶ δοκεῖ ἐνταῦθα ἰαμβικὸν εἶναι ἐφθημιμερές, ἀλλ' ὡς ἔστιν* <*ἰδεῖν ἐκ*> *τοῦ κώλου τῆς ἀντιστροφῆς, χορια*<*μβικόν*> *ἐστι δίμετρον καταληκτικόν· . . . γὰρ ἔχει ἐπίτριτον* <*τρίτον*>*, τὸν δὲ β' . . . ἐπίτριτον. τὸ ιά* <*ἰωνικὸν ἡμι*>*όλιον, ἐξ ἰωνικοῦ* <*ἀπὸ μείζονος καὶ*> *τροχαίου· εἰ δὲ βούλει, ἀναπαιστικὸν πενθημιμερές. τὸ*

[1] 128–135 are divided in the Ms. as follows (cp. the arrangement in Sidgwick): colon 1 *μηδὲν . . . φιλία*, 2 *γὰρ . . . τάξις*, 3–6 = 129–132, 7 *κτύπου . . . χάλυβος*, 8 *διῇξεν ἄντρων*, 9 *μυχὸν . . . μου*, 10 *τὰν θερμερῶπιν αἰδῶ*, 11 *σύθην δ' ἀπέδιλος*, 12 *ὄχῳ πτερωτῷ*.

ιβ' ἰαμβικὸν πενθημιμερές. ἐπὶ τῷ τέλει παράγρα<φος καὶ δύο διπλαῖ>, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου ἔξω νενευκυῖα, ἡ δὲ κατὰ τὸ τέλος, ἔσω, δηλοῦσαι <ὡς τέλος ἔχει τὰ ἀνταποδιδόμενα>

† *ἐπειδὴ Θέ<μιδος παῖς>* Προμηθεὺς *ἐμισεῖτο, ἀνθρώπων δ' ἦν ὁ τόπος ἔρημος <ὡς εἰς> τὰ ἔσχατα τυγχάνων τῆς γῆς, εἰκότως ἐξ 'Ωκεανίδων νυμφῶν εἰσάγει χορὸν ὁ ποιητὴς παραμυθησόμενον τὸν* Προμηθέα *ἐπὶ τοῖς συμβᾶσιν αὐτῷ χαλεποῖς. νύμφας δέ φασι τὰς ἐφόρους τῶν πηγῶν θεάς, ἃς προϊὼν παῖδας καλεῖ 'Ωκεανοῦ καὶ* Γῆς. *τῇ* Γῇ *γὰρ μιχθεὶς ὁ 'Ωκεανὸς ἀπέτεκε τὰς πηγὰς ὧν αὗταί εἰσιν ἔφοροι φιλίᾳ] ἐν ἥδε τάξις] ἤτοι τὸ ἡμέτερον τάγμα, τὸ σύστημα*

129 *θοαῖς] ταχείαις ἁμίλλαις] σπουδαῖς, κινήσεσιν*

130 *προσέβα τόνδε] πρὸς τόδε τὸ ὄρος ἦλθε πατρῴας] τὰς οὗ πατρὸς 'Ωκεανοῦ*

131 *μόγις] μόλις παρειποῦσα] παραπείσασα φρένας] ἤγουν τὸν πατέρα περιφραστικῶς*

132 *κραιπνοφόροι] ταχεῖαι, ταχέως φέρουσαι ἔπεμψαν] ἐκόμισαν αὖραι] αἱ τοῦ ἀέρος πνοαί*

133 *κτύπου γὰρ ἀχὼ] τὸ ἀπὸ τοῦ κτύπου τοῦ σιδήρου ἀπήχημα χάλυβος] τοῦ σιδήρου*

Ὅτι πρῶτον ὁ σίδ<ηρος ἐν Χά>*λυψιν εὑρέθη διῇξεν] διῆλθεν ἄντρων] τῶν σπηλαίων ἐν οἷς οἰκοῦμεν*

134 *μυχὸν] τὸ βάθος ἐκ δ' ἔπληξέ μου] εἰς ἔκπληξιν καὶ φόβον ἐκίνησεν.* | *ὑπερβατόν τὰν θερμερῶπιν] τὴν παρθενικὴν αἰδῶ] τουτέστιν ἐμὲ περιφραστικῶς*

135 *σύθην] ὥρμησα ἀπέδιλος] ἀνυπόδητος, γυμνοὺς ἔχουσα τοὺς πόδας ὄχῳ πτερωτῷ] ἐν ἅρματι ἢ ἐν πτεροῖς· ὄχημα γὰρ ἦν αὐταῖς τὰ πτερὰ ὥσπερ τοῖς ἱππεῦσιν οἱ ἵπποι*

136 Ante vers. *σύστημα κώλων θ'*

† *αἶ αἶ αἶ αἶ: σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς καλεῖται τοῦτο. καὶ ἔστι κώλων ἀναπαιστικῶν θ', ὧν τὸ α' τὸ ε' [καὶ τὸ] καὶ τὸ η', μονόμετρα, ὃ καλεῖται ἀναπαιστικὴ βάσις, τὰ λοιπὰ δὲ δίμετρα ἀκατάληκτα· τὸ δὲ θ' καταληκτικὸν ἤγουν ἐφθημιμερές, ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει μόνη παράγραφος*

137 *τῆς πολυτέκνου* Τηθύος] *ἤγουν τῆς παμμήτορος* Γῆς, *ᾗ μιχθεὶς 'Ωκεανὸς ἀπέτεκε τὰς πηγάς*

138 *περὶ] ἤγουν κύκλῳ εἰλισσομένου] συστρεφομένου, περικυκλοῦντος*

139 *χθόν'*] *τὴν γῆν* *ἀκοιμήτῳ*] *ἀπαύστῳ, ἀεικινήτῳ*

141 *δέρχθητ'*] *ἴδετε* *ἐσίδεσθε*] *ἐκ παραλλήλου*

142 *προσπορπατὸς*] *κεκαρφωμένος· πόρπη γὰρ τὸ κοινῶς σουβλίον, προσηλωμένος* *φάραγγος*] *ἤγουν τοῦ ὄρους*

143 *σκοπέλοις*] *ταῖς κορυφαῖς τοῦ ὄρους* *ἐν ἄκροις*] *ἐκ παραλλήλου* *φρουρὰν*] *φυλακήν, διαμονήν* *ἄζηλον*] *κακήν, ἣν οὐδεὶς ζηλώσει* *ὀχήσω*] *ἤγουν βαστάσω, φυλάξω*

In right margin, by another hand: *ὀχέω̑*. In left margin <*ἐκ μετα-φο*>*ρᾶς τῶν φρουρούντων ἐν τοῖς* <*ἀγροῖς φρουρ*>*ὰν εἴρηκεν. ὥσπερ γὰρ* <*οἱ οἰκο*>*ύμενοι τοὺς ἀγροὺς φρ*<*ουροῦσιν, οὕτω καὶ οὗ*>*τος ὥσπερ τις φρουρὸς τοῦ* <*ὄρους ἔ*>*μελλεν ἔσεσθαι· ἄζηλον δὲ λέγει* <*τὴν φρου*>*ρὰν αὐτοῦ, ὅτι ἐκείνων μὲν* <*ἡ*> *φρουρὰ ζηλωτή ἐστι διὰ τοὺς μισθοὺς καὶ τὴν ἐκ τῶν ἀγρῶν ἀπό*<*λαυσιν*>*· τὴν δὲ τούτου φρουρὰν . . . τις νοῦν ἔχων ζηλωσ . . . ἐκ μεταφορᾶς . . . ἐπιβαίνοντας*

144 Ante vers. *ἀντιστροφὴ κώλων ιβ'*

† *λεύσσω Προμηθεῦ: ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ μηδὲν φοβηθείς* (sic). *καὶ αὕτη γὰρ κώλων ἐστὶν ἰσομέτρων ἐκείνῃ ιβ'. ἐπὶ τῷ τέλει παράγραφος μόνη. ὁ μέντοι τελευταῖος ποῦς τοῦ δ*[ου] *κώλου σπονδεῖος ὤφειλεν εἶναι ὡς καὶ τοῦ τῆς* <*στροφῆς*>. *διὰ τοῦτο* <*χρὴ*> *γράφειν εἰσιδ*<*ούσῃ*>*τὸ σῆ ῆ· ἐπ*<*ειδὴ*> *καὶ διὰ τοῦ ῑ εὕρ*<*ηται*>, *οὐδὲν τῷ μέτρῳ λυμαίνεται·* <*αἱ*> *τῶν κώλων γὰρ καταλήξεις ἀδιάφοροί εἰσιν* *λεύσσω*] *βλέπω* *Προμηθεῦ*] *ὦ* *φοβερὰ*] *φόβου ποιητική* *ὄσσοις*] *ὀφθαλμοῖς*

145 *ὀμίχλα*] *νέφος λύπης, ἀορασία, οἱ γὰρ δακρύοντες οὐχ ὁρῶσι καθαρῶς* *προσῆξε*] *ἑαυτήν· ἤγουν προσῆλθεν* *πλήρης*] *πεπληρωμένη*

145 *δέμας*] *τὸ σῶμα* *εἰσιδούσῃ*] *θεασαμένῃ ἐμοί*

. . . <*καὶ εἰσι*>*δού*<*σῃ*> *τὸ σῆ ῆ, καὶ* <*εἰσ*>*ιδο*<*ῦσι τὸ σῑ ἰῶτα· καὶ τὸ* <*μέν ἐστι πρὸς τὸ*> *ὀφθαλμοῖς· τὸ* <*δὲ εἰσιδούσῃ πρὸς τὸ ση*>*μαινόμενον· τὸ γὰρ προσῆλθ*<*ε τοῖς*> *ἐμοῖς ὄσσοις οὐκ ἔστιν ἕτερον ἢ* <*ἐμοί*>

146 *πέτραις*] *πρὸς ταῖς πέτραις* *προσαυαινόμενον*] *ξηραινόμενον καὶ προσταλαιπωροῦν ταῖς τοῦ ἡλίου καύσεσιν*

148 *ἀδαμαντοδέτοις*] *ἰσχυραῖς, σιδηραῖς* *λύμαισιν*] *βλάβαις, κολάσεσιν*

149 *οἰακονόμοι*] *ἄρχοντες, ἤτοι ὁ Ζεύς* *κρατοῦσ'*] *ἄρχουσι* *'Ολύμπου*] *τοῦ οὐρανοῦ* *νεοχμοῖς*] *νέοις*

150 *'Αθέσμως· ἤγουν ἔξω τοῦ νόμου καθ' ὃν ἦρχον τῶν θεῶν ὅ τε Οὐρανὸς καὶ ὁ Κρόνος* *ἀθέσμως*] *ἀνόμως* *κρατύνει*] *κρατεῖ, ἄρχει*

151 Πέλωρ τὸ θηρίον· πέλωρον δὲ καὶ πελώριον τὸ μέγα ἀπὸ τοῦ πέλας εἶναι ὥρας καὶ φροντίδος· τῶν γὰρ μεγάλων πάντων εἰώθασι φροντίδα ποιεῖσθαι πελώρια] τὰ μεγάλα κεφάλαια, τόν τε Κρόνον λέγω καὶ τοὺς Τιτᾶνας ἀΐστοῖ] ἀφανίζει· ἔρριψε γὰρ αὐτοὺς ὑπὸ τὸν Τάρταρον.

152 Ante vers. σύστημα κώλων η'

ἡμέτερα † εἰ γάρ μ' ὑπὸ γῆν: ἕτερον σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων ἀναπαιστικῶν η', ὧν τὸ βτερον καὶ ϛ' μονόμετρα ἤτοι ἀναπαιστικὴ βάσις, τὰ λοιπὰ δὲ δίμετρα ἀκατάληκτα· τὸ δὲ η' καταληκτικὸν ἤτοι ἐφθημιμερές, ὃ καλεῖται παροιμιακὸν ὡς εἴρηται. ἐπὶ τῷ τέλει παράγραφος μόνη εἰ γὰρ] εἴθε νέρθεν τ' Ἀΐδου] ὑποκάτω τοῦ Ἅιδου

153 νεκροδέγμονος] τοῦ δεχομένου τοὺς νεκρούς

† ἀπέραντον μέν ἐστι τὸ μὴ ἔχον πέρας ἤτοι τέλος· ὡς οὗτός τέ φησιν ἐνταῦθα ἀπέραντον Τάρταρον λέγων, καὶ Ἀριστοφάνης ἐν Νεφέλαις (2) " ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν νυκτῶν ὅσον ἀπέραντον.' ἀπέρατον δὲ πέλαγος ἢ ἕτερόν τι ὕδωρ ὃ οὐδεὶς δύναται περᾶν καὶ διελθεῖν· <καὶ ἔστι> τὸ μὲν ἀπὸ τοῦ <περαίνω> περανῶ <πεπέραμαι, πεπέραται, ὡς μιαίνω μιανῶ μεμίασμαι μεμίανται καὶ φαίνω> πέφαγκα πέφασ<μαι> πέφανται, <οὕτως ἐκ τοῦ περαίνω> ἀπέραντον· τὸ δὲ <ἐκ τοῦ> περάω περῶ πεπέρακα πεπέραμαι πεπέραται . . . εἰς ἀπέραντον] τὸν ἀτελῆ διὰ τὸ βάθος, τὸν πέρας μὴ ἔχοντα

154 Τάρταρον] λέγω ἧκεν] ἔπεμψεν ὁ Ζεύς

155 δεσμοῖς] ἐν ἀγρίως] ἀπηνῶς πελάσας] ἀγαγὼν ἐκεῖσε καὶ δεσμώσας

156 ὡς] ἵνα τις ἄλλος] ἤγουν ἄνθρωπος τοῖσδ'] τοῖς πάθεσιν οἷς πάσχω ἐπεγήθει] ἐπέχαιρε

157 αἰθέριον] ἀέριον κίνυγμ'] κρέμασμα ὑπάρχων

158 ἐχθροῖς] τοῖς ἄλλοις θεοῖς ἐπίχαρτα] ἐπιχαρῆ πέπονθα] ἤγουν πάσχω

159 † τίς ὧδε τλησικάρδιος: ἡ βτέρα αὕτη στροφὴ κώλων ἐστὶ ιβ'.[1] τὸ α' τὸ βτερον καὶ τὸ γ' ἰαμβικὰ δίμετρα ἀκατάληκτα, ἃ καλεῖται Ἀνακρεόντεια ὡς κατακόρως τούτοις τοῦ ποιητοῦ χρησαμένου. τὸ δ' ἰωνικὸν ἢ παιωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ δύο παιώνων βτέρων καὶ συλλαβῆς ἀδιαφόρου. τὸ ε' παιωνικὸν καθαρὸν ἡμιόλιον, ἐκ παίωνος δ' καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον ἢ πυρρίχου. τὸ ϛ' ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος

[1] 159–167: cola 1–3 = 159, 160, 161, colon 4 τεοῖσι . . . Διός, 5 δ' . . . ἀεὶ, 6 = θέμενος . . . νόον, 7 δάμναται οὐρανίαν, 8 γένναν . . . λήξει, 9 πρὶν . . . κορέσῃ, 10 κέαρ . . . παλάμᾳ, 11 τινὶ . . . δυσάλω — 12 τον . . . ἀρχάν.

δ' ἀντὶ ἰωνικοῦ καὶ ἰωνικοῦ ἀπὸ μείζονος καθαροῦ. τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον τὸν $β^{τερον}$ ἔχει πόδα διΐαμβον· εἴη δ' ἂν τοῦτο καὶ τροχαϊκὸν ἑφθημιμερές, τοῦ πρώτου ποδὸς χορείου. τὸ ζ' χοριαμβικὸν δίμετρον καταληκτικὸν καθαρόν· εἰ δὲ βούλει, δακτυλικὸν πενθημιμερές. τὸ η' τροχαϊκὸν καθαρὸν ἰθυφαλλικὸν ἤτοι δίμετρον βραχυκατάληκτον. τὸ θ' τὸ ι' καὶ τὸ ια' ἀναπαιστικὰ μονόμετρα. τὸ ιβ' ἰαμβικὸν πενθημιμερές, τοῦ πρώτου ποδὸς ἀναπαίστου· εἰ δὲ βούλει, ἰωνικὸν ἡμιόλιον ἐκ παίωνος γ' καὶ σπονδείου. ἐπὶ τῷ τέλει παράγραφος καὶ δύο διπλαῖ ὡς εἴρηται διὰ τὸ ἔχειν ἀνταπόδοσιν

ὧδε] *οὕτως* *τλησικάρδιος*] *καρτερικός, σκληρογνώμων*

160 *ὅτῳ*] *ᾧτινι* *τάδ'*] *ἃ πάσχεις* *ἐπιχαρῆ*] *ἄξια χαρᾶς*

161 *ξυνασχαλᾷ*] *συλλυπεῖται*

162 *τεοῖσι*] *τοῖς σοῖς* *ὅ δ'*] *ἤγουν ὁ Ζεύς* *ἐπικότως*] *ὀργίλως*

163 *θέμενος*] *εἰς ἑαυτόν* *ἄγναπτον*] *ἀκαμπῆ, σκληρόν* *νόον*] *νοῦν*

164 *δάμναται*] *δαμάζει* *οὐρανίαν*] *τοὺς Οὐρανοῦ ἀπογόνους θεούς* *γένναν*] *ἤτοι τὴν γενεὰν τῶν θεῶν*

165 *λήξει*] *παύσεται τοῦ δαμάζειν* *κορέσῃ*] *πληρώσῃ* *κέαρ*] *τὴν ψυχὴν αὐτοῦ*

166 *παλάμᾳ*] *μηχανῇ· παλαμᾶσθαι γὰρ τὸ μηχανᾶσθαι.* | *δυνάμει τὰν δυσάλωτον*] *τὴν δυσπόρθητον* *ἕλῃ*] *πορθήσῃ, λάβῃ* *ἀρχάν*] *αὐτοῦ*

167 Ante vers. *σύστημα κώλων ια'*

† *ἦ μὴν ἔτ' ἐμοῦ: σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων ἀναπαιστικῶν ια', ὧν τὰ μὲν δέκα δίμετρα ἀκατάληκτα, τὸ δὲ ια' καταληκτικὸν ἤτοι ἑφθημιμερές. ἐπὶ τῷ τέλει παράγραφος. ἰστέον δὲ ὅτι τὸ ια' κῶλον ἴαμβον ἔχει τὸν $β^{τερον}$ πόδα· καὶ ἔστιν ἐντεῦθεν δῆλον ὅτι δέχεται καὶ ἰαμβικὸν τὸ ἀναπαιστικὸν μέτρον*

ἦ] *ὄντως* *ἔτ'*] *εἰς τὸ ἑξῆς* *κρατεραῖς*] *ἰσχυραῖς, μεγάλαις*

168 *ἐν γυιοπέδαις*] *τὰς δεσμούσας τὰ μέλη μου δέσμας* *αἰκιζομένου*] *μαστιζομένου, κολαζομένου*

169 *μακάρων πρύτανις*] *ὁ θεῶν διοικητὴς καὶ ἄρχων Ζεύς*

170 *δεῖξαι*] *αὐτῷ* *ὅτου*] *οὗτινος* *τὸ νέον βούλευμ'*] *τὸ πρόσφατον καὶ οὔπω ὑπ' αὐτοῦ γινωσκόμενον.* | *τὴν νέαν βούλησιν*

171 *σκῆπτρον τιμάς τ'*] *ἐκ παραλλήλου· ἤτοι τὴν τιμὴν τῆς ἀρχῆς* *ἀποσυλᾶται*] *ἀφαιρεθήσεται*

<Τὸ *ἀπ*>*οσυλᾶται εἰ καὶ ἀντὶ τοῦ ἀποσυ*<*ληθή*>*σεται εἴπομεν, ἀλλὰ καὶ οὕτως . . . ἂν χ . . . σθαι. διὰ τοῦτο γὰρ ἀποσυλᾶται εἶπε καὶ οὐκ ἀποσυληθήσεται, ἐπειδὴ ὃ ἀπό*<*κειται γενήσεσθαι, κἂν οὔπω*>*πάρεστι,* <*κατ' αὐτὸ τοῦτο, ὅτι*> *ἀπόκειται,* <*τοῦ ἐνεστῶτος χώραν ἐπέχει*> . . .

172 μ'] με μελιγλώσσοις] θελκτικαῖς

173 ἐπαοιδαῖσιν] ἐπῳδαῖς, λόγοις θέλξει] ἀπατήσει καὶ ὑπάξεται στερεάς] ἰσχυράς

174 ἀπειλὰς] αὐτοῦ πτήξας] φοβηθείς τόδ'] τὸ βούλευμα

175 καταμηνύσω] ἐξείπω αὐτῷ ἀγρίων] τῶν ἀπηνῶν τούτων

176 χαλάσῃ] ἤγουν λύσῃ ἐμέ ποινάς] τιμωρίας, ἀντεκτίσεις τίνειν] ἀντιδιδόναι ἐμοί

177 τῆσδ'] ἧς πάσχω αἰκίας] μάστιγος, τιμωρίας ἐθελήσῃ] ἤγουν τιμωρηθῆναι αὐτὸν τὸν Δία ὑπ' ἐμοῦ

178 Ante vers. ἀντιστροφὴ κώλων ιβ'

ἡμέτερα † σὺ μὲν θρασύς τε: ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ "τίς ὧδε τλησικάρδιος." καὶ αὕτη γὰρ κώλων ἐστὶν ἰσομέτρων ἐκείνῃ ιβ'. ἐπὶ τῷ τέλει παράγραφος μόνη. τὸ μέντοι ς' κῶλον διΐαμβον ἔχει τὸν β^{τερον} πόδα ἀντὶ ἰωνικοῦ ὡς εἴρηται θρασύς] τολμηρὸς εἶ πικραῖς] χαλεπαῖς

179 δύαισιν] λύπαις, κακοπαθείαις αἷς σύνει ἐπιχαλᾷς] ἐνδίδως

180 ἄγαν] λίαν ἐλευθεροστομεῖς] σοβαρῶς καὶ ὑπεροπτικῶς φθέγγῃ Τὸ ἐλευθεροστομεῖς ἐκ μεταφορᾶς εἴρηται τῶν ἐλευθέρων τοιούτων ὄντων· τοῖς γὰρ δούλοις κατεπτηχέναι καὶ τρέμειν πάρεστι διὰ τὴν δουλείαν

181 † ἐγώ, φησίν, ἀπορῶ καὶ δέδια εἰ ὅλως σε λύσει τῶν δεσμῶν καὶ σὺ ποινὰς ἀξιοῖς λαβεῖν παρὰ τοῦ Διὸς ἀγνοῶν τὸν αὐτοῦ τρόπον· ἀκαμπὴς γάρ ἐστι καὶ ἤθη ἔχων ἀκατάλ<ηπτα>· οὐ γὰρ ἓν ἔχει ἦθος ἀλλ' . . . τρόπος ἐστὶ μ<αλα> . . . λογιζόμ<ενος> . . .

ἐμὰς δὲ φρένας] τὸν ἡμέτερον νοῦν· ἤγουν ἐμὲ περιφραστικῶς ἠρέθισεν] ἐκίνησεν, ἐτάραξεν διάτορος] μέγας

182 ἀμφὶ] περὶ ἀμφὶ σαῖς τύχαις] ἕνεκα τῆς σῆς τύχης

183 πᾷ] ποῦ τῶνδε] οὓς πάσχεις

184 χρή] ἀπόκειται τέρμα] τέλος κέλσαντ'] καταντήσαντα, ἐλλιμενίσαντα, ἐκ μεταφορᾶς τῶν προσορμιζομένων νεῶν ἐσιδεῖν] ἰδεῖν ἀκίχητα] ἀκατανόητα, ἀκατάληπτα ἤθεα] ἤθη, τρόπους

185 κέαρ] ψυχήν οὐ παράμυθον] οὐ παρακλήσει ὑπεῖκον καὶ λόγοις· ἤγουν ἄκαμπτον, ἀπαραμύθητον (the scholion is lost) Κρόνου παῖς] ἤγουν ὁ Ζεύς

186 Ante vers. σύστημα κώλων ζ'

ἡμέτερα † οἶδ' ὅτι τραχύς: σύστημα ἕτερον ἐν ἐκθέσει κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων<ἀναπαιστικῶν ζ'>, ὧν τὸ δ' μονό<μετρον· τὰ δὲ>λοιπὰ δίμετρα ἀκατάληκτα· τὸ δὲ ζ' καταληκτικὸν ἤτοι ἐφθημιμερές. ἐπὶ τῷ τέλει

δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, ἀμφότεραι ἔξω νενευκυῖαι, δηλοῦσαι ὡς τέλος ἔχει τὰ ἀνταποδιδόμενα

οἶδ'] γινώσκω τραχύς] σκληρός ἐστι καὶ παρ' ἑαυτῷ] τὸ γὰρ αὐτῷ δόξαν δίκαιον ἡγεῖται κἂν ἀδικώτ<ατον> ᾖ

187 ἔμπας] ὅμως

† περισσὸν ἦν ἐνταῦθα τὸ οἴω. ἦν γὰρ "ἀλλ' ἔμπας οἴω." διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ

188 μαλακογνώμων] πραΰς, ταπεινός ἔσται] γενήσεται

189 ταύτῃ] οὕτως, ὡς ἔφην ῥαισθῇ] δαμασθῇ

190 ἀτέραμνον] σκληρὰν καὶ ἄκαμπτον στορέσας] μαλακίσας, καταβαλών

191 ἀριθμὸν] ἕνωσιν ἤτοι φιλίαν φιλότητα] συντυχίαν

192 πόθ' ἥξει] ἐλεύσεται, ἵνα αὐτῷ ἀπαλλαγὴν φράσω

193 † πάντ' ἐκκάλυψον: αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων πδ', ὧν τελευταῖος "πρὸς ἄλλο τ' ἄλλον πημονὴ προσιζάνει." ἐπὶ ταῖς ἀποθέσεσι καὶ τῷ τέλει παράγραφος ἐκκάλυψον] φανέρωσον γέγων'] εἰπέ

194 αἰτιάματι] μέμψει, αἰτίᾳ

195 αἰκίζεται] αἰκίζει, κολάζει

196 δίδαξον] τοῦτο λόγῳ] τῇ περὶ τούτων διηγήσει

197 Ante vers. προκατάστασις

. . . παρὰ τοῦ Διός . . . πλὴν χρὴ . . . τούτων ὑμῖν· <εἰ γάρ τις ἐκ>καλύψει πρός <τινα τὴν> αὐτοῦ θλίψιν, δέχεται παραμυθίαν παρ' αὐτοῦ. λ<έγει> δὲ διατί πάσχει περὶ τὸ . . . τῶν αὐτοῦ λόγων ἀλγεινὰ] ἄλγους αἴτια, λυπηρά καὶ λέγειν] μὴ μόνον πάσχειν ἀλλὰ καὶ λέγειν τάδε] τὸ λέγειν δι' ἃ πάσχω

198 πανταχῇ] ἐν τῷ λέγειν καὶ ἐν τῷ μὴ λέγειν δύσποτμα] δυσχερῆ καὶ βαρύτατα

199 Ante vers. διήγησις δαίμονες] οἱ θεοί χόλου] τῆς πρὸς ἀλλήλους ὀργῆς

200 στάσις] μάχη ἐν ἀλλήλοισιν] τοῦτο διαμέσου ὠροθύνετο] διηγείρετο

201 ἕδρας] τοῦ τῆς ἀρχῆς θρόνου

202 ἀνάσσοι] βασιλεύοι, ἄρχοι δῆθεν] τάχα τοὔμπαλιν] τὸ ἐναντίον

203 σπεύδοντες] ἀγωνιζόμενοι ὡς] ἵνα μή ποτ' ἄρξειεν] ἀλλ' ὁ Κρόνος ἀεὶ ἄρχοι

204 ἐνταῦθ'] ἐν τούτῳ τῷ καιρῷ ἤγουν τότε τὰ λῷστα βουλεύων] τὰ ὠφέλιμα, τὰ βέλτιστα συμβουλεύων πιθεῖν] καταπεῖσαι

205 Τιτᾶνας] ἀντέστησαν γὰρ οὗτοι τῷ Διί Χθονὸς] τῆς γῆς

206 αἱμύλας] ποταπάς, ποικίλας μηχανὰς] ἃς αὐτοῖς ἐμηχανώμην βουλάς

207 ἀτιμάσαντες] φαυλίσαντες, εἰς οὐδὲν λογισάμενοι καρτεροῖς] σκληροῖς καὶ ἀνενδότοις

208 ᾤοντ'] ὑπελάμβανον ἀμοχθεὶ] ἀπονητὶ πρὸς βίαν] ἤγουν βιαίως δεσπόσειν] ἄρξειν αὐτόν

209 οὐχ ἅπαξ] οὐ μόνον καλουμένη Θέμις] δικαιοσύνη

Τοῦτο λέγει ὅτι τὸ θεῖον φύσει μὲν ἕν, ὀνόμασι δὲ πολυμερές

210 πολλῶν ὀνομάτων] λέγεται γὰρ καὶ ζείδωρος πρὸς τούτοις καὶ βότειρα καὶ βωτιάνειρα μορφὴ μία] ἡ οὖσα ἓν πρόσωπον

211 ᾗ] ὅπου κραίνοιτο] τελεσθείη προυτεθεσπίκει] προυμαντεύσατο

212 Ὡς οὐ κατ' ἰσχύν: <τοῦτο πρὸς τὸ> ἄνω καὶ οὐ πρὸς τὸ σύν<αγκες συν>άπτεται τῇ ἐννοίᾳ· εἰπ<ὼν γὰρ> ἄνω τὸ " ἐνταῦθ' ἐγὼ τὰ λῷ<στα> βουλεύων " τὴν μὲν σύνταξιν ἀπέδωκε, τὴν δὲ ἔννοιαν οὐκ ἀπέδωκεν· οὐ γὰρ εἶπε τίνες ἦσαν αἱ συμβουλαὶ ἃς πρὸς αὐτοὺς ἐποιήσατο, ἀλλ' ἁπλῶς λῷστα εἶπε· νῦν δὲ πολλὰ διὰ μέσου θεὶς ἀποκαλύπτει ἃ συνεβούλευε, λέγων πρὸς αὐτοὺς ὡς χρὴ τὸν περιποιούμενον<ἑαυτῷ> ἀρχήν, οὐκ ἐν θρασ<ύτητι> καὶ γνώμης ὑπερ<οψίᾳ καὶ μετὰ> δόλου περιποιεῖσθαι αὐ<τόν, ἀλλ' ἐν>μεταχειρίσεσι καὶ ἐπιτηδ<ειότητι>. εἶπε δὲ τὰ διαμέσου ἂν . . . τὸ οὐκ ἠδυνήθην πιθεῖν, τὸ αἱμύλας δὲ μηχανὰς ἀτιμάσαντες καὶ τὰ ἑξῆς· οὕτω γὰρ ἀπῄτει ἡ ὁρμὴ τοῦ . . . εἶπε τὸ λῷστα βουλεύων. ἵνα μή τις εἴπῃ αὐτῷ σὺ δὲ ποῖ ἥξει τὸ πρᾶγμα ᾔδεις, ἐπάγει ἐμὴ <δὲ μήτηρ> καὶ τὰ ἑξῆς

ὡς] ὅτι κατ' ἰσχὺν] ἤγουν διὰ ἰσχύος οὐδὲ πρὸς τὸ καρτερὸν] ἤγουν διὰ γενναιότητος

213 ἡμέτερον † ἀπὸ τοῦ (?) χρεῖον τὸ χρήσιμον χρεῖα <ἡ> εὐθεῖα τῶν πληθυντικῶν τ<ὰ χρ>ήσιμα ὡς πότερα. καὶ παρὰ Σοφοκ<λεῖ τὸ> χρεῖ' ᾖ λέγεται (Trach. 162, χρείη Brunck)· ἤγουν χρήσιμ<ον> χρεῖ' ᾖ] ἤγουν χρήσιμον δόλῳ] ἤγουν μετὰ μηχανῆς καὶ ἐπιτηδειότητος ὑπερέχοντας] τοὺς μεγάλους, τοὺς δυνατούς κρατεῖν] ἄρχειν

214 λόγοισιν] ἐν ἐξηγουμένου] παραινοῦντος καὶ λέγοντος

215 οὐδὲ προσβλέψαι] ἤγουν οὐδὲ ἀτενίσαι πρός με καὶ ἰδεῖν με τὸ πᾶν] τὸ παράπαν

216 κράτιστα] ἤγουν κρεῖττον τῶν παρεστώτων τότε] τῶν ἐνισταμένων πραγμάτων ἢ τῶν ὄντων βουλευμάτων

217 *ἐφαίνετ'*] *ἐδόκει*

218 *ἑκόνθ'*] *ἐθελουσίως* *Ζηνὶ*] *τῷ Διί* *συμπαραστατεῖν*] *συμπαρίστασθαι, συμμαχεῖν*

219 *Προμηθεὺς λέγει εὐεργεσίας τινὰς γενομένας παρ' αὐτοῦ τῷ Διί, ἵνα ἀχάριστον καὶ ἀγνώμωνα αὐτὸν ἀποδείξῃ* *ἐμαῖς δὲ βουλαῖς*] *τοιαῦτα γὰρ συνεβούλευσα* *μελ[α]μβαθὴς*] *ὁ σκοτεινὸς διὰ τὸ β<άθος>*

220 *κευθμὼν*] *ὁ κατώτατος τόπος ἤγουν ὁ Ἅιδης* *καλύπτει*] *περιέχει* *τὸν παλαιγενῆ*] *τὸν παλαιὸν κατὰ τὴν γένναν*

221 Ante vers. *ἀπόθεσις* *αὐτοῖσι*] *σὺν* *συμμάχοισι*] *τοῖς Τιτᾶσι.* | *αὐτοῦ* *τὸτ εστὶ* (*τουτέστι*?) in marg. by 2d hand

222 *τύραννος*] *ὁ βασιλεὺς ἤγουν ὁ Ζεύς* *ὠφελημένος*] *ὠφεληθείς*

223 *κακαῖσι*] *τὸ σχῆμα βαρύτης* *π[οι]ναῖς*] *τιμωρίαις* *ταῖσδε*] *αἷς σύνειμι* *ἀντημείψατο*] *ἀντεδεξιώσατο*

224 Ante vers. *γνωμικόν* *πως*] *τρόπον τινὰ ἢ ἀληθῶς* *τῇ τυραννίδι*] *τῇ ἐκ βίας γενομένῃ ἀρχῇ*

225 *τοῖς φίλοισι*] *τοῖς οἰκείοις καὶ συγγενέσι* *μὴ πεποιθέναι*] *θάρρος διδόναι*

226 *ὃ δ'*] *ὅπερ* *αἰτίαν*] *μέμψιν, ἀφορμὴν λέγω*

Καθ' ἥντινα: ἐνταῦθα τὸ μὲν <τιν>α τῇ ἐννοίᾳ συνάπτεται, <τὸ δὲ>ἣν ἀργόν ἐστιν. ὥσπερ πολλάκις γίνεται καὶ τὸ ἐναν<τίον> τὸ τίνα (sic) *ἀργὸν εὑρισκόμενον*

227 *αἰκίζεται*] *αἰκίζει, τιμωρεῖται* *σαφηνιῶ*] *σαφηνίσω, δηλώσω*

228 *<ὅπως>οὐ μόνον ἐστὶν ἀντὶ τοῦ . . . ἐνταῦθα, ἀλλὰ τοῦ ἵνα, καὶ ἀντὶ τοῦ πῶς . . . παρ' Εὐριπίδῃ "ὁποῖα κισσὸς δρυός, ὅπως τῆσδ' ἕξομαι"* (Hec. 398) *ὅπως*] *ἐπεί* *τὸν πατρῷον*] *τὸν τοῦ πατρὸς αὐτοῦ Κρόνου*

229 *δαίμοσιν*] *τοῖς θεοῖς* *νέμει*] *μεμερισμένως παρέχει*

230 *διεστοιχίζετο*] *διεμέριζε κατὰ τάξιν*

231 *τῶν ταλαιπώρων*] *τῶν ἀθλίων* *λόγον*] *φροντίδα*

232 *ἀϊστώσας*] *ἀφανίσας* *γένος*] *τούτων*

233 † *τὸ φιτῦσαι<κρεῖττον . . . οὐ τὸ> φυτεῦσαι, οὐ μόνον<ὡς ἔν> τινι <τῶν ἄγαν> παλαιῶν εὑρεθὲν ἀντιγρά<φων, ἀλλὰ> καὶ ὡς εὑρεθὲν ἔχον τὸ <ι> μακρόν, <τὸ γὰρ> φυτεῦσαι ἀεὶ βραχὺ τὸ υ ἔχον εὕρηται* *ἔχρῃζεν*] *ἤθελεν* *ἄλλο*] *γένος* *φιτῦσαι*] *ποιῆσαι, γεννῆσαι ἐξ οὗ καὶ φίτυς ὁ πατήρ.* | *τελέσαι*

234 *τοῖσιν*] *ἤγουν τῇ τοιαύτῃ βουλῇ* *ἀντέβαινε*] *ἠναντιοῦτο* *πλὴν*] *χωρίς*

235 † ἔν τινι τῶν ἄγαν παλαιῶν βι<βλίων> εὕρηται " ἐγὼ δὲ τόλμης," ἤγουν ἕνεκα τόλμης· καί μοι δοκεῖ τοῦτ' εἶναι κρεῖττον. οἱ δὲ γράφοντες " ἐγὼ δ' ὁ τόλμης " ἤγουν ὁ τολμηρός, οὔ μοι δοκοῦσι καλῶς τοῦτο λέγειν. οὔτε γὰρ τόλμης τόλμου κλιθείη πότ' ἄν, οὔτε μὴν τόλμης τόλμητος. ἐκεῖνο μὲν γὰρ παντελῶς ἐστιν ἄμουσόν τε καὶ ἄχρηστον, τοῦτο δ' οὐκ ἔχει λόγον ἐπεὶ μὴ ἔστιν ἰαμβικόν

τόλμης] ἕνεκα ἐξελυσάμην] ἠλευθέρωσα βροτοὺς] τοὺς

236 διαρραισθέντας] διαφθαρέντας ὑπὸ τοῦ Διός εἰς Ἅιδου] τὸν τόπον μολεῖν] ἐλθεῖν

237 τῷ τοι] ἐν τούτῳ, ἤγουν διὰ τοῦτο πημοναῖσι] τιμωρίαις κάμπτομαι] ταλαιπωρῶ, καταβάλλομαι, δαμάζομαι

238 πάσχειν] αὐτάς ἀλγειναῖσιν] λυπηραῖς οἰκτραῖσιν] ἐλέους ἀξίαις ἰδεῖν] τινὰ αὐτάς

239 οἴκτῳ] ἐλέῳ προθέμενος] ποιήσας ἤγουν ἐλεήσας αὐτούς τυχεῖν] τοῦ ἐλέου

240 αὐτός] ἐγώ ἀνηλεῶς] ἀπανθρώπως

Right-hand margin ση(μείωσαι) περὶ ῥυ<θμοῦ καὶ ἀριθμοῦ>

241 † τὸ ἐρρύθμισμαι ἐκ μεταφορᾶς τῶν χορδῶν εἴρηται. ὥσπερ γὰρ αὗται διατεινόμεναι ῥυθμίζονται καὶ εἰς τάξιν μέλους ἔρχονται, οὕτω καὶ οὗτος τεταμένος καὶ ἀνεσταυρωμένος ἔμελλεν ἔσεσθαι, καὶ μέλος γοερὸν ἀφιέναι, ὥσπερ τινὶ πλήκτρῳ τοῖς δεσμοῖς πιεζόμενος. γίνεται δὲ τὸ ῥυθμίζω ἀπὸ τοῦ ῥυθμός· ὁ ῥυθμὸς δέ ἐστιν ὁ ἐκ τῆς ἁρμονίας τῆς μουσικῆς ἀποτελούμενος ἦχος, ἤτοι τὸ μ<έλος> καὶ γίνεται, ὡς ἐμοὶ δοκεῖ, ἀπὸ τοῦ ἐρύειν καὶ ἕλκειν τὸν θυμὸν ἤτοι τὴν ψυχήν. θέλγουσι γὰρ τὴν ψυχὴν τὰ μέλη καὶ πρὸς ἑαυτὰ ἕλκουσιν· ἐπεὶ γὰρ ἁπλῆ τις οὖσα τῷ ἐξ ἁρμονιῶν συγκειμένῳ συγκεκραμένη σώματι, καὶ χαίρει τούτῳ συνοῦσα καὶ μουσικοῦ τινος τρόπον τοῦτο ῥυθμίζουσα, εἰκότως καὶ τοῖς ἔξωθεν ἐξ ἁρμονίας συγκειμένοις θέλγεταί τε καὶ χαίρει· μέλ<ους> γάρ τινος αἰσθομένη χαρο<ποῦ> γάννυται καὶ σκιρτᾷ. <κατα>κλᾶται δὲ πάλιν καὶ σκ<υθρω>πάζει τούτου πρὸς τὸ σκ<υθρω>πότερον τετραμμένου. ἀρ<μονία δὲ> γίνεται ἀπὸ τοῦ αἴρω τὸ ἐπαί<ρω καὶ> . . . ἔστιν ὁ συνεχῶς καὶ κατὰ μικρὸν αὐξόμενος· ἓν γὰρ ἀεὶ ἐφ' ἑνὶ προστιθέμενον, εἰς ἄπειρον ἐκτείνει τ<ὸν> ἀρ<ιθμόν>· οἱ δὲ ἀπὸ τοῦ ὁρ>ίζω τὸ συναφορίζω τοῦτον παράγοντες, πολλήν μοι δοκοῦσι τὴν σύγχυσιν ἐν <τῷ ἀ>σύμφωνον ποιεῖν <καὶ μετ>αβολὴν ἀνάρμοστον πάνυ· χρὴ γὰρ παράγειν τὰς λέξεις ἐναρμόνιον . . .

ὧδ'] οὕτως ἐρρύθμισμαι] προσήλωμαι, ἐκτέταμαι, ἐσταύρωμαι Ζηνὶ] τῷ Διί· ἤγουν ὑπὸ τοῦ Διός δυσκλεὴς] ἄδοξος θέα] θεωρία

242 *σιδηρόφρων*] *σκληρὸς καὶ ἄκαμπτος τὸ φρόνημα καὶ ὥσπερ ὑπὸ πετρῶν συμπαγεὶς τὸν νοῦν* *εἰργασμένος*] *πεποιημένος*

243 Προμηθεῦ] *ὦ* *ξυνασχαλᾷ*] *συλλυπεῖται*

244 *μόχθοις*] *δυστυχίαις* *τάδε*] *ἃ πάσχεις*

245 *ἔχρῃζον*] *ἤθελον* *ἠλγύνθην κέαρ*] *ἐλυπήθην, ἔπαθον τὴν ψυχήν*

246 *ἐλεεινὸς*] *ἄξιος ἐλέους* *εἰσορᾶν ἐγώ*] *ὥστε βλέπειν αὐτοὺς ἐμέ· ὥστε οὐδὲν θαυμαστὸν εἰ καὶ ὑμεῖς συνηλγήσατε ἐν πρώτοις οὖσαι τῶν φίλων*

247 *τί*] *οὔ(?)τι* *τῶνδε*] *ὧν φῄς* *περαιτέρω*] *ἐπέκεινα*

248 Προδέρκεσθαι *ἤγουν προβλέπειν. εἰ γὰρ εἶχον ἄνθρωποι πρὸ ὀφθαλμῶν τὸν θάνατον καὶ μὴ ἐλπίσιν ἐβουκολοῦντο, ὁ μέν, προσδοκῶν εὐδαίμων γενήσεσθαι καὶ περιεῖναι καὶ ζῆν ἀεί, ὁ δέ, αὐ<τὸ> τοῦτο καὶ ὅτι πλούσιος ἔσται, λύπαις ἂν καὶ ὀδυρμοῖς τὸν πάντα αἰῶνα <δι>έφερον.* *ἔπαυσα*] *πρὶν γὰρ πρὸ ὀφθαλμῶν εἶχον αὐτὸν* *προδέρκεσθαι*] *προβλέπειν*

249 *φάρμακον*] *θεραπείαν*

250 *κατῴκισα*] *ἐνέβαλον*

252 *τοῖσδε*] *οἷς ἔφην* *σφιν*] *αὐτοῖς* *ὤπασα*] *παρέσχον*

253 *φλογωπὸν*] λαμπρόν, *φωτεινόν* *ἐφήμεροι*] *οἱ ἄνθρωποι*

254 *ἀφ' οὗ γε*] *ναὶ* *ἐκμαθήσονται*] *ἐφευρήσουσιν*

255 *αἰτιάμασιν*] *αἰτίαις*

256 *αἰκίζεται*] *κολάζει* *οὐδαμῇ*] *οὐδαμῶς* *χαλᾷ*] *ἐνδίδωσιν ἐκ μεταφορᾶς τῶν πλοίων*

257 *ἄθλων*] *τῶν μόχθων καὶ τῶν καμάτων ὧν πάσχεις* *προσκείμενον*] *προσδοκώ<μενον>*

258 *οὐδὲν*] *τέλος ἔστι μοι* *πλὴν*] *εἰ μὴ*

259 *ἐλπίς*] *ἔστι μοι*

260 *ὡς*] *ὅτι*

261 *καθ' ἡδονὴν*] *ὑπάρχει· οὐ γὰρ τοῖς σοῖς κακοῖς ἥδομαι* *ἄλγος*] λύπη *ταῦτα*] *ἤγουν τὸ περὶ τούτων <λέγειν>*

262 *μεθῶμεν*] *ἀφῶμεν, καταλείψωμεν* *ἄθλου*] *τοῦ καμάτου* *ἔκλυσιν*] *ἐλευθερίαν*

263 *ἐλαφρὸν*] *ῥᾴδιον* *ὅστις*] *ἐκείνῳ ὑπάρχει* *πημάτων*] *συμφορῶν*

265 *πράσσοντας*] *πάσχοντας ἤγουν τοὺς κακοπραγοῦντας* *ἠπιστάμην*] *ἐγίνωσκον*

267 *ἀρήγων*] *βοηθῶν* *εὑρόμην*] *εὗρον* *πόνους*] *λύπας, συμφοράς*

268 *ποιναῖς*] *τιμωρίαις* *ᾠόμην*] *ὑπελάμβανον* *τοιαῖσι*] *τοιαύταις*

269 *κατισχανεῖσθαι*] *καταξηραίνεσθαι καὶ ταλαιπωρεῖν ἐκ μεταφορᾶς τῶν ἰσχάδων* *πεδαρσίοις*] *ὑψηλαῖς*

270 *ἀγείτονος*] *οὐδεὶς γὰρ τούτῳ πλησιάζει* *πάγου*] *ὄρους*

271 *μὴ 'δύρεσθ'*] *μὴ θρηνεῖτε* *ἄχη*] *τὰς λύπας, τὰ πάθη*

272 *Ὥσπερ ἀπὸ τοῦ οἶκος οἴκοι <οὕτω> καὶ ἀπὸ τοῦ πέδον πεδοῖ* *πεδοῖ*] *ἐν τῷ πέδῳ* *βᾶσαι*] *κατελθοῦσαι, εἰς ἀέρα γὰρ ἐφέροντο* *προσερπούσας*] *τὰς προσερχομένας ἐμοί* *τύχας*] *δυστυχίας*

273 *ὡς*] *ἵνα* *διὰ τέλους*] *ἕως τέλους* *τὸ πᾶν*] *τοῦ κατ' ἐμὲ πάθους*

274 *πείθεσθέ μοι*] *τὸ προσελθεῖν ἐν τῷ πέδῳ καὶ διὰ τέλους ἀκοῦσαι τὰ 'μά*

275 Τὸ *ταῦτα πρ . . . κρεῖττον . . . ἀποδόσθαι* *μογοῦντι*] *τῷ πάσχοντι* *ταῦτά τοι*] *ἤγουν προσελθεῖν καὶ ἀκοῦσαι τὰ κατ' ἐμέ* *πλανωμένη*] *φερομένη* Post vers. *γνωμικόν*

276 Ἡ *πη<μονή, φησί, καὶ ἡ> δυστυχία ἄλλοτε πρὸς ἄλλον προσιζάνει πλανωμένη καὶ φερομένη<ἤγουν ἄστα>τός ἐστι καὶ οὐκ ἀεὶ τοῦ αὐτοῦ καταφ<έρεται>· ἐπεὶ οὖν ταῦθ' οὕτως ἔχει, δεῖ καὶ ὑμᾶς ἐμοὶ συμπο<νεῖν δυστυ>χοῦντι, ἵνα καὶ <ὑμῖν εἴποτε ἂν> συμβαίη (τὸ <γὰρ τῆς τύχης ἄδηλον>) τοὺς ὑμᾶς παραμυ<θησομένους ἔχοιτε>* *ἄλλοτ'*] *ἐν ἄλλῳ καιρῷ* *ἄλλον*] *ἄνθρωπον* *πημονὴ*] *δυστυχία* *προσιζάνει*] *προσέρχεται, προσκά[θ]ηται*

277 Ante vers. *σύστημα κώλων ζ'*

<† *οὐκ ἀκούσαις: σύστη>μα κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων ἀναπαιστικῶν ζ', ὧν τὸ β*τερον *μονόμετρον, τὰ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ ζ' μόνον καταληκτικὸν ἤτοι ἐφθημιμερές. ἐπὶ τῷ τέλει παράγραφος*

οὐκ ἀκούσαις] *ἀλλὰ<καὶ ἡμεῖς>ταῦτα βουλόμεθ' ἀκοῦσαι* *ἐπιθώυξας*] *ἐβόησας, εἶπας ἡμῖν*

278 *τοῦτο*] *τὸ ὑπομεῖναι τὴν κατὰ σὲ ἀκρόασιν* Προμηθεῦ] *ὦ*

279 *ἐλαφρῷ ποδὶ*] *ἤγουν ἐν τοῖς πτεροῖς κουφιζομένων* *κραιπνόσσυτον*] *πτηνόν, ταχύν*

Δέον κραιπνοσσύτως προλιποῦσα εἰπεῖν, κραιπνόσσυτον εἶπε πρὸς τὸ θᾶκον· ἢ πρὸς τὸ πόρον σύναπτε. θᾶκον δὲ τὸν ἀέρα φησίν· ἐπ' ἐκεῖνον γὰρ οἷον καθήμεναι ἐπεστηρίζοντο

280 *θᾶκον*] *τὴν ἐν τῷ ἀέρι στάσιν* *προλιποῦσ'*] *καταλείψασα* *αἰθέρα*] *τὸν ἀέρα* *ἁγνὸν*] *τὸν καθαρόν*

<ἡμέτ>ερα † *ὅτι ἄνω ἐξ ὅλου τοῦ συστήματος τῶν Ὠκεανίδων ποιησάμενος τὸν λόγον, οὐκ ἀκούσαις εἰπών, νῦν ὡς ἐκ μιᾶς τοῦτον ἀποδίδωσι, προλιποῦσα εἰπών, καὶ πελῶ, καὶ χρῄζω· μία γὰρ ἦν ἡ λέγουσα καὶ οὐχὶ πᾶσαι. σύνηθες γὰρ τοῦτο τοῖς ποιηταῖς, ποτὲ μὲν ἑνικῶς πρὸς τὸ τοῦ χοροῦ ὄνομα ποιεῖσθαι τὸν λόγον, ποτὲ δὲ πληθυντικῶς πρὸς τὸ πλῆθος τῶν χορευτῶν*

281 *πόρον*] *τὴν πορείαν τῶν ὀρνέων* *ὀκρυοέσσῃ*] *τῇ χαλεπῇ καὶ σκληρᾷ καὶ πετρώδει, λέγω δὲ τῷ* Καυκάσῳ

282 *χθονὶ*] *ἤγουν τῷ ὄρει* *πελῶ*] *πλησιάζω* *πόνους*] *μόχθους*

283 *χρῄζω*] *χρείαν ἔχω* *διὰ παντός*] *διόλου*

284 Ante vers. *σύστημα ἕτερον κώλων ιδʹ*

† *ἥκω δολιχῆς: σύστημα ἕτερον κατὰ περικοπὴν κώλων ὁμοίων ἀναπαιστικῶν ιδʹ, ὧν τὸ θʹ μονόμετρον, τὰ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ ιδʹ καταληκτικὸν ἤτοι ἐφθημιμερές. ἐπὶ τῷ τέλει παράγραφος* *ἥκω*] *ἦλθον* *δολιχῆς*] *μακρᾶς* *τέρμα*] *τέλος* *κελεύθου*] *ὁδοῦ*

285 *διαμειψάμενος*] *διελθών· ἢ μᾶλλον φθάσας* Προμηθεῦ] *ὦ*

286 *τὸν πτερυγωκῆ*] *τὸν ταχὺν διὰ τῶν πτερύγων* *οἰωνὸν*] *τὸν γῦπα ᾧ ἐπωχεῖτο*

287 *γνώμῃ*] *θελήματι ἐμῷ* *στομίων*] *χαλινῶν* *ἄτερ*] *χωρὶς* *εὐθύνων*] *διεξάγων*

288 *τύχαις*] *δυστυχίαις* *ἴσθι*] *γίνωσκε* *ξυναλγῶ*] *συλλυποῦμαι*

289 *ξυγγενὲς*] *ἡ συγγένεια· Οὐρανοῦ γὰρ ἀμφότεροι ἔκγονοι*

290 *ἐσαναγκάζει*] *ἀναγκάζει συμπάσχειν σοι* *γένους*] *τοῦ.* | *τῆς συγγενείας*

291 *ὅτῳ*] *ᾧτινι*

292 *μοῖραν*] *φιλί<ας δ>ηλονό<τι>* *νείμαιμ'*] *παράσχοιμι*

293 *τάδ'*] *ἃ φημι* *ἔτυμ'*] *ἀληθῆ ἐστι* *μάτην*] *ἤτοι ψευδῶς*

294 *χαριτογλωσσεῖν*] *χαρίζεσθαι διὰ γλώττης*

295 *σήμαιν'*] *δήλου* *ὅ τι*] *ὅπερ* *συμπράττειν*] *συναγωνίζεσθαι*

296 *ἐρεῖς*] *λέξεις*

297 *βεβαιότερος*] *ἀληθής, πιστότερος*

298 † *ἔα· τί χρῆμα: αἱ ἑξῆς αὗται συστηματικαὶ περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ϙθʹ, ὧν τελευταῖος " σταθμοῖς ἐν οἰκείοισι κάμψειεν γόνυ "* (396). *ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν καὶ εἰσιόντος τοῦ χοροῦ*

ἔα] *ἐκπληκτικὸν ἐπίρρημα* *χρῆμα*] *πρᾶγμά ἐστι* *πόνων*] *μόχθων*

299 *ἥκεις*] *ἦλθες* *ἐπόπτης*] *θεατής* *λιπὼν*] *ἀφείς*

300 *ἐπώνυμον*] *τὸ Ὠκεάνειον ἀπὸ σοῦ καλούμενον* *πετρηρεφῆ*] *πετρώδη ὄροφον ἔχοντα*

301 *Σιδηρομήτορα λέγει τὴν τῆς Σκυθίας Χαλυβ<ικὴν γῆν,> ἐν ᾗ πρῶτον ὁ σί<δηρος εὕ>ρηται. λέγει δὲ <τὸν Καύ>κασον· περὶ αὐ<τὸν γὰρ οἱ*

Χά>λυβες αὐτόκτιτ'] αὐτοφυῆ τὴν σιδηρομήτορα] τὴν μητέρα τοῦ σιδήρου

302 αἶαν] γῆν τύχας] τὰς δυστυχίας

303 ἀφῖξαι] ἦλθες ξυνασχαλῶν] συλλυπηθησόμενος

304 δέρκου] βλέπε θέαμα] θεωρίαν τόνδε] ἤγουν ἐμέ

305 τὸν συγκαταστήσαντα] τὸν συγκατεργασάμενον αὐτῷ τὴν ἀρχὴν τυραννίδα] τὴν βασιλείαν

306 οἵαις] ἐν πημοναῖσι] βλάβαις, τιμωρίαις κάμπτομαι] δαμάζομαι

307 Προμηθεῦ] ὦ

308 τὰ λῷστα] τὰ λυσιτελῆ καὶ κάλλιστα ποικίλῳ] ἤγουν συνετῷ. τὸν νοῦν δηλονότι

309 γίνωσκε σαυτόν] ὡς ἐλάττων Διὸς εἶ μεθάρμοσον] μετάβαλε οὓς ἔχεις νῦν καὶ κτῆσαι νέους

Ἐκ μεταφορᾶς τῆς μουσικῆς τὸ μεθάρμοσον εἴρηται· ἀντὶ τοῦ εἰπεῖν δὲ κτῆσαι τρόπους νέους, εἶπε μεθάρμοσον· τουτέστιν ἐξ ἀμοιβῆς λάβε› ἐκβαλὼν τὸν πρότερον τρόπον καὶ ἄλλον κτησάμενος· ἢ καὶ νέον εἶπε πρὸς ἀντιδιαστολὴν τοῦ προτέρου

310 νέους] ποταπούς; ἤγουν νέον φρόνημα κτῆσαι τὸ πρόσθεν ἀφείς τύραννος] βασιλεύς

311 ὧδε] οὕτως τεθηγμένους] ὀξεῖς τραχεῖς καὶ τεθηγμένους] σκληρούς, ὑβριστικοὺς ἐκ μεταφορᾶς τοῦ τεθηγμένου σιδήρου καὶ ἐστομωμένου

Τὸ τραχεῖς καὶ τεθηγμένους ἑρμηνεία ἐστὶ τοῦ ὧδε

312 ῥίψεις] ἀφήσεις πρὸς τὸν Δία τάχ'] ἴσως μακρὰν ἀπωτέρω] ἐκ παραλλήλου

313 θακῶν] καθήμενος κλύοι] ἀκούσοι χόλον] τὴν ὀργὴν τοῦ Διός

314 μόχθων] τῶν νῦν δυστυχιῶν παιδιάν] παίγνιον πρὸς τὰ μέλλοντα καταλήψεσθαί σε κακὰ παρ' αὐτοῦ

315 † οὐκ ἄθλιον τοῦτον ἀποκαλέσαι βουλόμενος ταλαίπωρον εἴρηκεν, ἀλλ' ὡς ταλαιπωροῦντα ἐν τοῖς δεσμοῖς ταλαίπωρον εἶπεν αὐτόν· εἰ γὰρ καὶ πρὸς τῶν ἄλλων μισεῖται θεῶν, ἀλλ' οὗτος συλλυπούμενος ὡς φίλος<αὐτῷ> . . . κἂν ἐξηνέχθη ἄτοπά <τε> καὶ ἀπρεπῆ ὀνειδίζειν <αὐτῷ> ταλαίπωρ'] ὁ ταλαιπωρῶν ἐν τοῖς δεσμοῖς ὀργάς] κατὰ τοῦ Διός

316 πημάτων] τῶν παθημάτων ἀπαλλαγάς] ἐλευθερίαν

317 Ἀρχαῖά φασι τὰ μωρά, παρόσον οἱ ἀρχαῖοι ἁπλῶς καὶ ἀποικίλως ἔζων, οἱ δ' ὕστερον φρονήσει καὶ περιττότητι νοῦ ἀρχαῖ'] μωρά ἴσως] τάχα τάδε] ἅ σοι λέγω

318 Ante vers. *γνωμικόν* *μέντοι*] *δὲ* *ὑψηγόρου*] *μεγαλαύχου καὶ σοβαρᾶς*

319 *Προμηθεῦ*] *ὦ* *τὰ 'πίχειρα*] *τὰ ἐπιτίμια*

320 *οὐδέπω*] *ἀκμήν* *εἴκεις*] *ὑποτάσσῃ καί ὑποχαλᾷς*

321 *πρὸς*] *σὺν* *παροῦσι*] *οἷς πάσχεις* *ἄλλα*] *κακά* *προσλαβεῖν*] *δύο* $\overline{\textit{προς}}$ *ἐκ παραλλήλου*

322 *οὔκουν*] *οὐδαμῶς*

323 Παροιμία *ἐστὶ τὸ πρὸς κέντρα λακτίζειν, εἰρημένη ἐκ τῶν βοῶν τῶν κεντουμένων ὄπισθεν* <*καὶ*> *ἐν τῷ λακτίζειν τοὺς ἰδίους πόδας αἱμασσόντων τῷ κέντρῳ* *κῶλον*] *ἤγουν τὸν πόδα* *ἐκτενεῖς*] *ἐξάξεις*

324 *τραχὺς*] *ἀκαμπής* *μόναρχος*] *βασιλεύς*

† *ὑπεύθυνος· ἤγουν ὑπ' ἄλλου ἐξουσιαζόμενος καὶ ὑπ' εὐθύνην ὤν* *ὑπεύθυνος*] *δυνατὸς ὑπ' εὐθύνην ἐλθεῖν ἐάν τι παρὰ δίκην ἐργάσηται* *κρατεῖ*] *ἄρχει*

325 *εἶμι*] *πορεύσομαι πρὸς αὐτόν*

326 *ἐκλῦσαι*] *ἐλευθερῶσαι*

327 *ἡσύχαζε*] *ἥσυχος ἔσο* *ἄγαν*] *λίαν* *λαβροστόμει*] *κομπορρημόνει*

328 † *περισσὸν τὸ ἐπέκεινα τοῦ ἴσου καθὸ λέγομεν ἄρτιον καὶ περιττὸν ἀριθμόν. καὶ ἀπὸ τούτου περιττὸν τὸ πολὺ καὶ ὑπὲρ τὸ μέτρον, ὡς κἀνταῦθα. περισσόφρων γὰρ ἐνταῦθα ὁ λίαν ἐστὶ φρόνιμος. καὶ Ὅμηρος περίφρον φησὶ Πηνελόπεια· λέγεται δὲ περισσὸν καὶ τὸ μάταιον, καθό φαμεν περισσὰ φθέγγεσθαί τινα ἤγουν μάταια*

περισσόφρων] *περιττὸς τὴν φρόνησιν ἤγουν λίαν φρόνιμος*

329 *ματαίᾳ*] *τῇ παρὰ καιρὸν κομπαζούσῃ*

330 *Θαυμάζω σε, Ὠκεανέ, ὅτι ἐκτὸς αἰτίας καὶ μέμψεως ὑπάρχεις τῷ Διὶ καὶ οὐδὲν κακὸν ὑπ' αὐτοῦ πέπονθας, πάντα τἀμὰ πάθη ἴδια λογισάμενος δι' ὧν*<*συνήλ*>*γησας* *ζηλῶ*] *θαυμάζω, ἐπαινῶ* *ὅθ' οὕνεκ'*] *ἐκ παραλλήλου* *αἰτίας*] *μέμψεως ὑπάρχεις τῷ Διί*

331 *πάντων*] *τῶν κατ' ἐμέ* *μετασχὼν*] *κοινωνήσας* *τετολμηκὼς ἐμοί*] *ὑπομείνας δι' ὧν συνήλγησας*

332 *ἔασον*] *ἄφες τὸ ἐλθεῖν πρὸς αὐτὸν καὶ ζητεῖν λῦσαί με* *μελησάτω*] *διὰ φροντίδος ἔστω τοῦτο*

333 *πάντως*] *ἀληθῶς* *νιν*] *αὐτόν* *εὐπιθής*] *Ἰωνικὴ ἡ συστολή*

334 *πάπταινε*] *περίβλεπε, ἐπιτήρει, σκόπει* *πημανθῇς*] *βλαβῇς* *ὁδῷ*] *τῇ ὑπὲρ ἐμοῦ πρὸς αὐτόν*

335 *ἀμείνων*] *κρείττων* *τοὺς πέλας*] *τοὺς πλησίον ἤγουν τοὺς φίλους* *φρενοῦν*] *σωφρονίζειν* *ἔφυς*] *ὑπάρχεις*

336 *τεκμαίρομαι*] *σημειοῦμαι τοῦτο*

337 *ὁρμώμενον*] *κινούμενον ἐλθεῖν ὑπὲρ σοῦ πρὸς αὐτόν* *ἀντισπάσης*] *κωλύσης καὶ ἀποστήσης τούτου*

338 *αὐχῶ*] *θαρρῶ. ὃ γὰρ θαρρεῖ τις καὶ καυχᾶται*

339 *Δί'*] *τὸν Δία* *ἐκλῦσαι*] *ἐλευθερῶσαι*

340 *οὐδαμῇ*] *οὐδαμῶς* *λήξω*] *παύσομαι* *ποτέ*] *ἐπαινῶν*

341 *προθυμίας*] *τῆς ὑπὲρ ἐμοῦ* *ἐλλείπεις*] *καταλιμπάνεις* *ἀτάρ*] *δὲ*

342 *μάτην*] *οὐ γὰρ εἰσακουσθήσῃ*

Τὸ *ὠφελῶ οὐ μόνον αἰτιατικῇ εὕρηται ὡς παρ' Ἀριστοφάνει "ἆρ' ὠφελήσαις ἄν τι τὸν σαυτοῦ φίλον"* (Plutus 1134) *ἀλλὰ καὶ δοτικῇ, ὡς κἀνταῦθα· καὶ ἐν ἄλλοις οὗτός φησιν "ὡς τοῖς θανοῦσι χρήματ'* (*πλοῦτος* in text) *οὐδὲν ὠφελεῖ"* (Pers. 842)

344 *ἐκποδὼν*] *μακρὰν ἐκείνου*

345 *τοῦδ'*] *τοῦ δυστυχεῖν*

346 *Ὡς πλείστοις: τὸ ὡς ἀντὶ τοῦ* λίαν, *ἢ τοιαύτην ἐνταῦθα σημασίαν ἔχει. ὥσπερ φαμὲν τὸ ὡς ἐν τοῖς παροῦσι. τότε γὰρ τὸ ὡς ὥσπερ ἔμφασιν ἐνέχει καὶ ἔστιν ἐκ παραλλήλου. καὶ τοῦτο μέν φασί τινες, τὸ δ' ἀληθές, τὸ ὡς<ἀντὶ τοῦ>* λίαν *ἐστί· σὺ δὲ μὴ ἀκούων <λίαν>πλείστοις νομίσῃς λέγειν τὸν* Προμηθέα *μὴ ἐθέλειν μὲν <λιάν πο>λλοῖς βλάβας, ἀλλὰ δηλονότι <ὀλίγοις>· ἀλλ' οὕτως ἔχει, οὐ θέλοιμι ἂν* λίαν *πλείστοις ἀνθρώποις πημονάς, ἤγουν οὔτε πλείστοις οὔτ' ὀλίγοις, τυχεῖν τούτων δηλονότι· ἢ τὸ πημονὰς πρὸς τὸ τυχεῖν· εὕρηται γὰρ τὸ τυχεῖν καὶ πρὸς αἰτιατικὴν ἅπαξ*

ἡμέτερον † *τοῦτο ὅμοιόν ἐστι τῷ παρὰ* Λιβανίῳ· *"σὺ γὰρ ταῖς πόλεσι τά τ' ἄλλα βούλοι' ἄν, καὶ δὴ καὶ λόγων ἰσχύν·" οὐ δεῖ <δὲ> πλείστους γράφειν ἀλλὰ πλείστοις· <τὸ μέντοι?> ὡς <οὔ?> μοι δοκεῖ ἀντὶ τοῦ* λίαν *<εἶναι> ἀλλ' ἀντὶ τοῦ ὥστε· οὕτως· <θέλοιμι>ἂν πλείστοις πημονάς, <ὥστε τυχεῖν>αὐτῶν δηλονότι* *ὡς*] λίαν *πλείστοισι*] *ἀνθρώποις* *πημονὰς*] *βλάβας* *τυχεῖν*] *αὐτοὺς τούτων*

347 *οὐ δῆτ'*] *οὐ πεισθήσομαί σοι* *κασιγνήτου*] *τοῦ σοῦ ἀδελφοῦ* *τύχαι*] *δυστυχίαι*

348 *τείρουσ'*] *δαμάζουσι*, λυποῦσι *Ἄτλαντος*] Ἐπιμηθεὺς Προμηθεὺς Ἄτλας *καὶ* Μενοίτιος *ἀδελφοὶ υἱοὶ* Ἰαπετοῦ. | *τοὺς τρεῖς μόνους ὁ* Ζεὺς *ἐκόλασεν* *ἑσπέρους*] *δυτικούς*

349 Supra vers. *κατεδικάσθη γὰρ ὑπὸ Διὸς ὑπανέχειν τὸν οὐρανοῦ καὶ γῆς κίονα· ὅστις ἦν ὄρος τὸ νῦν καλούμενον Ἄτλας δοκοῦν οὐρανῷ ἐγγίζειν διὰ τὸ ὕψος*

350 *ἐρείδων*] *ἐπιστηρίζων ἤγουν βαστάζων* *οὐκ εὐάγκαλον*] *ἀλλὰ δυσβάστακτον*

351 *τὸν γηγενῆ*] *τὸν γενναῖον καὶ ἀνδρεῖον.* | *τὸν ἐκ γῆς γεννηθέντα* Κιλικίων *οἰκήτορα*] *τὸν ἐν* Κιλικίᾳ *οἰκήσαντα κολασθέντα δ' ἐν* Σικελίᾳ

"Οτι<ὁ Τυφὼς ἐν Κιλι>κίᾳ *μὲν ἐγεννήθη* <*ἐν* Σικελίᾳ *δὲ ἐκε*>*ραυνώθη ἐν τοῖς ποσὶ τοῦ ὄρους τῆς* Αἴτνης· *ἔνθα φασὶ καθήμενον τὸν* "Ηφαιστον *χαλκεύειν· καλεῖται*<*δὲ ὁ τόπος οὗτος*> *κρατῆρες, διὰ τὸ μεστὸς εἶναι πυρός*

† *οὐκ ἔστιν ὁ* Τυφὼς *ἀδελφὸς* Προμηθέως *ὡς διδάσκει ἡ ἱστορία*

Τὸν *γηγενῆ τε: μυθεύεται ὅτι* <*οἱ* Τιτᾶνες Οὐρανοῦ *καὶ* Γῆς> *παῖδες ὄντες ἀντῆραν πόλεμον τῷ* Διὶ *καὶ ἀντέστησαν αὐτῷ· ἐπεὶ δὲ δέκα ἔτη ἐμάχοντο καὶ λύσις* <*τοῦ πολέμου οὐκ*> *ἦν ἀλλ' ἴση ἦν ἐν ἀμφοτέροις ἡ μάχη, ἔχρησεν ἡ* Γῆ *τῷ* Διὶ *τὴν νίκην ἐὰν σχῇ συμμάχους τοὺς* Κύκλωπας· *ὁ δὲ οὐ μόνον τοὺς τρεῖς μονοφθάλμους ἔλαβε* Κύκλωπας, *τὸν* Βρόντην, *τὸν* Στερόπην *καὶ τὸν* "Αργον, *ἀλλὰ καὶ τοὺς τρεῖς ἑκατόγχειρας, τὸν* Κότον, *τὸν* Βριάρεων *καὶ τὸν* Γύγην· *παῖδες δὲ καὶ οὗτοι* Οὐρανοῦ *τε καὶ* Γῆς *ἐχρημάτιζον· καὶ νέκταρ κεράσας εὔφρανε καὶ πρὸς τὴν μάχην ἠρέθισε· καὶ πόλεμον συνάρας μετὰ μεγάλου κρότου τοὺς* Τιτᾶνας *κατετροπώσατο καὶ τῇ γῇ προσέδησε καὶ κατεταρτάρωσε. μετὰ δὲ ταῦτα ἡ* Γῆ *τῷ* Ταρτάρῳ *μιγεῖσα τὸν ἑκατοντακέφαλον* Τυφῶνα *ἐγέννησεν, ἁπάντων θηρίων ἀγρίων ἔχοντα κεφαλὰς καὶ τέρας δεινὸν καὶ παμμιγὲς χρηματίζοντα, καὶ ἐξ ὀφθαλμῶν σέλας πυρὸς καταπληκτικὸν ἐξαστράπτοντα, ὃς πάλιν ἑτέραν συνῆψε τῷ* Διὶ *μάχην· κεραυνωθεὶς δὲ καὶ αὐτὸς ἐν* Σικελίᾳ *παρὰ τὴν* Αἴτνην *τῷ* Ταρτάρῳ *ἐκρύβη· ἐξ οὗ μυθολογεῖται πάντας τοὺς σφοδροὺς ἀνέμους κυΐσκεσθαι χωρὶς ζεφύρου καὶ βορέου· θεογενεῖς γὰρ οὗτοι. εἶτα* Προμηθεὺς "Ατλας *καὶ* Μενοίτιος Ἰαπετοῦ *καὶ* Κλυμένης *ὄντες παῖδες, ἀντέστησαν τῷ* Διί· *ὧν τὸν μὲν* Προμηθέα *προσήλωσεν ἐν* Καυκάσῳ *ἀετὸν πέμψας τούτου κατεσθίειν τὸ ἧπαρ. τὸν δὲ* "Ατλαντα *πεποίηκεν ἐπ' ὤμων φέρειν τὸν τοῦ οὐρανοῦ κίονα, τὸν δὲ* Μενοίτιον *ἐκεραύνωσεν*

352 *ἄντρων*] *σπηλαίων* *ᾤκτειρα*] *ἠλέησα* *δάϊον*] *πολεμικόν, καταπληκτικόν*

353 *ἑκατοντακάρηνον*] *ἑκατὸν κεφαλὰς ἔχοντα* *πρὸς βίαν χειρούμενον*] *ἤγουν βιαίως πιεζόμενον ἐν* Αἴτνῃ *χειρούμενον*] *κρατούμενον ὑπὸ* Διός

354 *θοῦρον*] *τὸν ὁρμητικὸν καὶ θρασύν* *ἀντέστη*] *ἠναντιώθη*

355 *σμερδναῖσι*] *καταπληκτικαῖς* *γαμφηλαῖσι*] *σιαγόσι* *συρίζων*] *ἐκπνέων· εἰκότως δὲ εἶπε τὸ συρίζειν, ἐπειδὴ ὄφεων κεφαλὰς εἶχε, τούτων δέ ἐστι τὸ συρίζειν*

356 *ὀμμάτων*] *αὐτοῦ* *ἤστραπτε*] *ἀπέλαμπε* *γοργωπὸν*] *καταπληκτικόν* *σέλας*] *ἤγουν πῦρ*

357 *τὴν Διὸς*] *ἤγουν τὸν Δία* *τυραννίδ'*] *τὴν ἀρχήν* *ἐκπέρσων*] *μέλλων καταβαλεῖν* *βίᾳ*] *βιαίως*

358 *αὐτῷ*] *τῷ* Τυφῶνι Ζηνὸς] *τοῦ Διός* *ἄγρυπνον*] *ἀκοίμητον, ἄσβεστον*

359 Καταιβάτης: *εἴδη τῶν κεραυνῶν εἰσι πέντε· πρηστὴρ σκηπτὸς καταιβάτης ψολόεις καὶ ἑλικίας. γίνεται δὲ ὁ μὲν πρηστήρ, ὁ καὶ πυρόεις καλούμενος, καταφερομ<ένου> τοῦ πνεύματος . . . | ὁ δὲ σκηπτὸς ἐκπυ<ρωθέντος καὶ>λεπτυνθέντος τοῦ <πυρώδους πνεύ>ματος· . . . ὃς διὰ λεπτότητ<α οὐ φλέγει> ἀλλὰ μελαίνει· ὁ ψολόεις ὁ ἐν τῇ καύσει ὀλ<λύων· ἑλικίας> δὲ ὁ ἕλικας καὶ συστροφ<ὰς ποιῶν> διὰ παχύτητα καὶ ὑγρ<ότητα> τῇ πυκνότητι τοῦ ἀέρος ἀντωθούμενος*

καταιβάτης] *ὄνομα τοῦτο τοῦ κεραυνοῦ* *ἐκπνέων*] *ἐκπέμπων*

360 *ἐξέπληξε*] *μετ' ἐκπλήξεως ἔπαυσε* *ὑψηγόρων*] *τῶν μεγαληγόρων*

361 *κομπασμάτων*] *οἷς ἐχρῆτο ἀπειλῶν τῷ Διί* *φρένας — τυπεὶς*] *εἰς αὐτὸν τὸν νοῦν πληγεὶς καὶ παράφρων γενόμενος τῷ ἀπροσδοκήτῳ τῆς πληγῆς*

362 *ἐφεψαλώθη*] *κατεκαύθη, φέψαλος γὰρ ὁ μικρὸς σπινθήρ* *κἀξεβροντήθη*] *παρετράπη, ἐξησθένησεν, ὥσπερ οἱ βροντῆς ἤχῳ παρατραπέντες*

363 *ἀχρεῖον — δέμας*] *ἄτιμον καὶ ἀπόβλητον, μηδεμιᾶς φροντίδος ἀξιούμενον*

364 *στενωποῦ — θαλασσίου*] *τοῦ* Σικελικοῦ *πορθμοῦ· εἰκότως δὲ προσέθηκε τὸ θαλασσίου ἐπεὶ στενωπούς φασι τὰς ἐν ταῖς πόλεσιν ἀγυιὰς ἤτοι τὰς ὁδούς*

Ὅτι *ὁ* Σικελικὸς *πορθμὸς μέσον* Σικελίας *καὶ* Ἰταλίας *ἐστίν*

365 Ἰπνὸς [1] *λέγεται ὁ φοῦρνος· ἐκ γὰρ τοῦ ἴπτω τὸ βλάπτω οὐ μόνον τὸ ἰάπτω γίνεται, ἀλλὰ καὶ ιπτος*[1] (*ἶπος?*) *ἡ παγίς τῶν μυῶν καὶ ἱπνοῦν*[1] (?) *βλάπτειν παρά τε ἄλλοις καὶ <τῷδε τῷ>* Αἰσχύλω *<καὶ> παρὰ τῷ κωμικῷ <ὡς τὸ "ἱπνούμενος?> ταῖς συμφοραῖς"* (Eq. 924, in A *ἱπτούμενος*, other Mss. *ἱπούμενος*). *ἐκ τοῦ ιπτω*[1] *δὲ καὶ ἴψ ὁ σκ<ώληξ, ὁ> τοῖς κέρασιν ἐμφ<υόμενος, ὡς> τὸ "μὴ κέρα ἶπες ἔδοιεν"* (*ω* 395). *ἱπνούμενος*] *καιόμενος* Αἰτναίαις] *ταῖς τοῦ ὄρους τῆς* Αἴτνης

366 *κορυφαῖς*] *αὐτῆς τῆς* Αἴτνης *ἥμενος*] *καθήμενος*

Μυδροκτυπεῖ *ἤτοι χαλκεύει μύδρον καὶ πεπυρακτωμένον σίδηρον· μύδρος δὲ γίνεται ἀπὸ τοῦ μὴ ἔχειν ὕδωρ. ἐξικμάζεται γὰρ ὁ τοιοῦτος καὶ οὐδόλως*

[1] In the manuscript it is not clear whether the breathing is smooth or rough.

μετέχει ὑγρότητος, ἀλλὰ μόνης ξηρότητος· ὁ δὲ μὴ τοιοῦτος ὑγρότητα ἔχων ποιεῖ καὶ ἰόν μυδροκτυπεῖ] σφυρηλατεῖ, χαλκεύει

367 Τοῦτο κατὰ τοὺς χρόνους Ἱέρωνος γέ<γονεν> ἄρχοντος Σικελίας, <ὅτε καὶ> Αἰσχύλος ἤκμαζεν ἔνθεν] ἐκ τῆς Αἴτνης ἐκραγήσονται] σφοδρῶς ἐκρεύσουσιν

368 δάπτοντες] ἀφανίζοντες, ἐσθίοντες γνάθοις] στόμασιν ἡμέτερον † δάπτοντες εἰπὼν εἰκότως προσέθηκε καὶ τὸ ἀγρίαις γνάθοις, ἤγουν στόμασιν ἀπὸ μέρους· ἢ ὀδοῦσι. τούτων γάρ ἐστι τὸ ἐσθίειν· ἀγρίαις δὲ διὰ τὸ ἀφανιστικόν

369 Σικελίας] τῆς νήσου λευρὰς] πλατείας γυίας] ἀρούρας

370 τοιόνδε] τοιοῦτον ἐξαναζέσει] ἀναδώσει χόλον] μανίαν, ὀργήν

371 θερμῆς] καυστικῆς ἀπλήστου] ἀκορέστου Ἀπλήστου ἀκορέστου, ἀκρατήτου· τὸ γὰρ πῦρ εὑρὸν ὕλην οὕτω βακχεύει ὡς μηδένα τῶν πάντων ἐπισχεῖν αὐτὸ δύνασθαι βέλεσι] ἐν. | ὁρμαῖς πυρπνόου] πυρώδους ζάλης] † ταραχῆς, ἐκχύσ<εως>

372 Ζηνὸς] τοῦ Διός ἠνθρακωμένος] κεκαυμένος ὥς τινες ἄνθρακες

373 οὐκ ἄπειρος] † ἤγουν μὴ πεῖραν ἔχων τῆς γνώμης τοῦ Διός. ἢ ὧν οἱ ἄλλοι πεπόνθασιν

374 ὅπως] ὥσπερ ἐπίστασαι] γινώσκεις

375 παροῦσαν] ἐμοί ἀντλήσω] καρτερήσω † ἀνατλήσω, ὑπομενῶ

376 Διὸς φρόνημα] † ἤγουν ὁ Ζεὺς περιφραστικῶς λωφήσῃ] παύσηται χόλου] τῆς κατ' ἐμοῦ ὀργῆς

377 Προμηθεῦ] ὦ

378 Ante vers. γνωμικόν νοσούσης] † αὐξομένης· νόσος γὰρ ψυχῆς ἐστιν ἡ ὀργή λόγοι] οἱ παρακλητικοὶ δηλονότι

379 ἐάν] ναί ἐν καιρῷ] τῷ πρέποντι μαλθάσσῃ] πραΰνῃ καὶ ἡμεροῖ (Ms. — ῇ) τὴν τοῦ θυμουμένου ψυχήν

380 σφριγῶντα] ἀκμάζοντα καὶ ζέοντα ἰσχναίνει βίᾳ] λεπτύνει καὶ παύειν ἐπιχειρεῖ βιαίως

383 μόχθον] πόνον μάταιον ὁρῶ εὐηθίαν] μωρίαν. ἐπίθετον δὲ ταύτης τὸ κουφόνουν

† τὸ εὐηθίαν καὶ προμηθίαν καὶ τὰ τοιαῦτα Ἰωνικῆς ἐστι διαλέκτου. ἐκεῖνοι γὰρ τὰ <διὰ τοῦ> ειᾱ προπαροξύτονα παροξυτόνως ἐκφέρουσι συστέλλοντες τὴν δίφθογγον

384 τήνδε] † τὸ προθυμεῖσθαι δηλονότι ὑπὲρ τῆς τῶν φίλων βοηθείας

385 κέρδιστον] † ἤγουν κέρδος φέρει καὶ οὐ ζημίαν εὐφρονοῦντα] τινά δοκεῖν] φαίνεσθαι τοῖς ἄλλοις

386 (ἐμὸν δοκεῖ σοι) Γράφεται τὸ δοκήσει καὶ οὕτως ᾗ δηλονότι καὶ διαφόρως. καὶ ἔχει οὕτως. εἰ γὰρ αὐτὸ τὸ τοῦ Διὸς ἄκαμπτον εἰδώς, σὲ ὑπὲρ ἐμοῦ πρὸς αὐτὸν σπεύδοντα οὐκ ἐπίσχω, πᾶσιν ἂν δόξω μηδὲν τῶν δεόντων ἐπίστασθαι, καὶ Προμηθεὺς μάτην καλεῖσθαι· ἢ ἡ ἀποτυχία ἣν αὐτὸς ἀποτύχῃς ἱκετεύων τὸν Δία ὑπὲρ ἐμοῦ ἐμὴ λογισθήσεται. δόξω γὰρ ὡς ἐγὼ σὲ εἰς τοῦτο προύτρεψα

Supra vers. † ἤγουν ἐμὸν νομίζεις εἶναι τοῦτο ἁμάρτημα τὸ δοκεῖν σε μὴ φρονεῖν εὖ φρονοῦντα ἀμπλάκημ'] ἁμάρτημα

387 Supra vers. † οὐδὲν πρὸς τοῦτο ἀποκριθεὶς πρὸς τὸν τοῦ Προμηθέως σκοπὸν τρέπει τὸν λόγον σαφῶς] φανερῶς οἶκον] τὸν ἐμόν στέλλει] πέμπει

388 μὴ] ναί θρῆνος οὑμὸς] ἤγουν τὸ ὑπὲρ ἐμοῦ θρηνεῖν καὶ ἀποκλαίεσθαι

389 ἦ] ἆρα τῷ νέον θακοῦντι] βάλῃ εἰς ἔχθραν θακοῦντι] καθημένῳ παγκρατεῖς] τὰς πάντων κρατούσας

390 τούτου] οὗ φῄς φυλάσσου] σκόπει, ἐπιτήρει ἀχθεσθῇ] βαρυνθῇ, χαλεπανῇ κέαρ] ἡ ψυχή

391 Προμηθεῦ] ὦ συμφορὰ διδάσκαλος] † ἤγουν τὰ σὰ πάθη τοὺς ἄλλους διδάσκουσιν

392 στέλλου] πορεύου κομίζου] † ὑπὸ τοῦ γυπὸς οἴκαδε σῷζε] φύλαττε τὸν παρόντα νοῦν] ὃ νῦν σοι δοκεῖ

Τὸν παρόντα νοῦν: ἤγουν ὃ νῦν σοι δοκεῖ· λέγω δὴ τὸ μὴ πρὸς αὐτὸν ἀπελθεῖν· ἵνα <μὴ> καὶ αὐτὸς τὰ ὅμοια <πάθῃς>

393 ὁρμωμένῳ] κινουμένῳ πρὸς τὴν ὁδόν ἐθώυξας] ἐκέλευσας, εἶπες.

394 (οἶμον αἰθέρος ψαίρει) † οἱ γράφοντες λευρὸν οἶμον ψαύει καὶ φιλονεικοῦντες ἀποδεῖξαι ὡς οὐ γενικῇ μόνον ἀλλὰ καὶ αἰτιατικῇ τὸ ψαύω συντάσσεται, οὔ μοι δοκοῦσι καλῶς φιλονεικεῖν· εὕρηται γὰρ ἔν τινι τῶν ἄγαν παλαιῶν ἀντιγράφων ψαίρει, ὃ<καὶ>κρεῖττον εἶναι δοκεῖ· ψαίρειν δέ ἐστι ὅταν ἵππος <βουλόμεν>ος στρέφειν οἴκαδε αἴρων<τὸν πόδ>α τύπτῃ τὴν γῆν. καὶ γεν<έσθαι ἐ>μοὶ δοκεῖ τὸ ψαίρειν ἀπὸ τ<οῦ ὕψος?> αἴρειν ἤτοι κινεῖν τὸν πόδα δηλονότι· ἐνταῦθα δὲ ἐπεὶ οὐ τοῖς ποσὶν ὁ γὺψ ἔψαιρεν ἀλλὰ τὰ πτερὰ κινῶν ἦν, οὐ γὰρ ἐπὶ<γῆς> ἵστατο ἀλλ' εἰς ἀέρα ἐφέρετο, διὰ τοῦτο τὸ ψαίρει τὸν λευρὸν οἶμον τοῖς πτεροῖς εἶπεν. ἴσθι δ' ὅτι καὶ ὁ οἶμος δασύνεται· καὶ δῆλον ἀπὸ τοῦ φροιμίου· ἀπὸ γὰρ τοῦ προοιμίου τὸ φροίμιον γίνεται κατὰ συγκοπὴν τοῦ ο καὶ τρο<πὴν> τοῦ π εἰς δασὺ τὸ φ· τοῦτο δ' οὐκ ἂν ἐγένετό ποτε μὴ δασυνομένου τοῦ οἶμος

λευρὸν] τὸν πλατύν ψαίρει] † κινεῖ ἠρέμα πτεροῖς] τοῖς ἑαυτοῦ

395 *τετρασκελὴς*] *τετράπους* *οἰωνός*] *ὁ γύψ* *ἄσμενος*] *χαίρων*

396 *σταθμοῖς ἐν οἰκείοισι*] *ταῖς καταγωγαῖς, τῇ φάτνῃ, αὐτοῦ· σταθμὸς γὰρ ὁ σταῦλος* *κάμψειεν*] *κλίνειε* *γόνυ*] *τὸ αὐτοῦ*

397 Ante vers. *στροφὴ κώλων θ'* *στένω σε*] *καθ' ὅλον καὶ μέρος* *τὰς οὐλομένας*] *τὰς ἀξίας φθορᾶς ἢ φθαρτικάς*

† *στένω σε τὰς οὐλομένας: ὅτι τὰ μὲν τῶν χορῶν καλεῖται παροδικὰ ὅτε λέγει δι' ἣν αἰτίαν πάρεστιν, ὡς τὸ* "Τύριον οἶδμα λιποῦσα" (Phoen. 202) *καὶ τὰ τοιαῦτα, τὰ δὲ στάσιμα ὅσα ἵσταται καὶ τῶν συμφορῶν τοῦ δράματος ἄρχεται, ὡς ἔχει ἄλλα τε πολλὰ καὶ τὰ παρόντα· ἱστάμεναι γὰρ ταῦτα ᾖδον. διὸ καὶ* Προμηθεὺς *τὸ στάσιμον ᾆσαι μέλος ταύτας προτρέπων πρότερον* (v. 274) *εἴρηκε* "*πεδοῖ δὲ βᾶσαι τὰς προσερπούσας τύχας ἀκούσατε.*" *τὰ δὲ καλεῖται κομμάτια ὅσα κομματικῶς ἐν θρήνοις γίνεται· ὡς τὸ* "*θρεῦμαι φοβερὰ μεγάλ' ἄχη* (Theb. 78) *καὶ* "*τάδε μὲν* Περσῶν *τῶν οἰχομένων*" (Pers. 1) *καὶ ἄλλα τοιαῦτα. εἰσὶ δὲ τὰ παρόντα εἴδη καὶ μέλη ἐπῳδικὰ ὡς* Ἡφαιστίων *φησίν* (66.24)· "*ἐπῳδικὰ δέ ἐστιν ἐν οἷς ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται· γίνεται δὲ ὥσπερ τριὰς ἐπῳδική, οὕτω καὶ τετρὰς καὶ πεντάς, καὶ ἐπὶ πλεῖον.*" *ἔστι γοῦν τὰ παρόντα πεντὰς ἐπῳδική. καὶ εἰσὶ τῆς μὲν πρώτης στροφῆς τὰ κῶλα θ' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα.*[1] *τὸ α' χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ διϊάμβου καὶ χοριάμβου. τὸ β*^τερον^ *ἰαμβικὸν πενθημιμερές. τὸ γ' ἰωνικὸν ἀπ' ἐλάττονος καθαρὸν δίμετρον ἀκατάληκτον ἐκ β' ἰωνικῶν. τὸ δ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ε' ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ἀκατάληκτον ὅμοιον τῷ γ', ἐκ παίωνος γ' καὶ ἐπιτρίτου β*^τέρου^ *ἤτοι τροχαϊκῆς συζυγίας· εἰ δὲ βούλει, ἰαμβικὸν ἑφθημιμερές, τοῦ α' ποδὸς ἀναπαίστου. τὸ ς' τὸ ζ' τὸ η' καὶ τὸ θ', ὅμοια κατὰ πάντα τούτῳ. ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος μόνη*

<Τοῦτ'> *ἔστιν ἄτοπον καὶ ἀντὶ αἰτιατικῆς* λαμβάνειν *τὸ οὐλομένας τύχας, καὶ ἀντὶ γενικῆς· τὸ μὲν γάρ ἐστιν* Ἀττικὸν *καθ' ὅλον καὶ μέρος συνταττόμενον, οὕτω· στένω σε, ὦ* Προμηθεῦ, *τὰς τύχας λέγω τὰς σὰς τὰς οὐλομένας καὶ ὀλεθρίας· τὸ δὲ συντάσσεται* λαμβανομένου *τοῦ ἕνεκα ἔξωθεν, οὕτω· στένω σε, ὦ* Προμηθεῦ, *ἕνεκα τῆς τύχης τῆς οὐλομένης*

398 Προμηθεῦ] *ὦ*

399 *δακρυσίστακτον*] *ποταπόν;* | *τοῦτο ἢ πρὸς τὸ ῥέος ἢ πρὸς τὴν παρειὰν συντακτέον* *ὅσσων*] *ὀφθαλμῶν*

[1] 397–406: colon 1 *στένω . . . οὐλομένας*, 2 *τύχας* Προμηθεῦ, 3 *δακρυσίστακτον ἀπ' ὅσσων*, 4 *ῥαδινῶν ῥέος παρειάν*, 5–9 = 402–406.

400 *ῥαδινῶν*] *λεπτῶν, ἁπαλῶν ἤγουν παρθενικῶν*

† *περισσὸν ἦν ἐνταῦθα τὸ λειβομένα ῥέος πρὸς τὸ τῆς ἀντιστροφῆς κῶλον· διὸ ἐξεβλήθη παρ' ἐμοῦ. μὴ δυνηθέντες γάρ τινες τοῦτο συντάξαι, τὸ λειβομένα προσέθηκαν. σὺ δέ γε οὕτω σύντασσε· στένω σε, ὦ Προμηθεῦ, τὰς τύχας τὰς οὐλομένας· ἔτεγξα καὶ ἔβρεξα τὴν παρειὰν ἐμοῦ δηλονότι ῥέος καὶ ῥεῦμα δακρυσίστακτον ἀπὸ τῶν ὄσσων καὶ τῶν ὀφθαλμῶν ἐμοῦ τῶν ῥαδινῶν καὶ ἁπαλῶν, ἐν νοτίοις λέγω πηγαῖς. δέον δὲ εἰπεῖν ἐποίησα τὴν παρειὰν δακρυσίστακτον καὶ διάβροχον ἐν πηγαῖς νοτίοις ἀπὸ τῶν ὄσσων τῶν ῥαδινῶν, ὁ δὲ ἔτεγξα εἶπε ῥέος δακρυσίστακτον τὴν παρειάν. πολλὰ γὰρ τοιαῦτα τοῖς ποιηταῖς ἔθος γράφειν καὶ εἴη ἂν περιττὸν τιθέναι νῦν παραδείγματα· εἴρηκε δὲ τοῦτο ἀσύνδετον ὡς καὶ τὸ "Ζεὺς ἰδίοις νόμοις κρατύνων." οἱ προστιθέντες οὖν τὸ δέ καὶ λέγοντες δακρυσίστακτον δ' ἀπ' ὄσσων, ἀγνοοῦσι τὰ μέτρα* *ῥέος*] *ῥεῦμα* *παρειὰν*] *ἐμοῦ*

401 *νοτίοις*] *ὑγραῖς* *ἔτεγξα*] *ἔβρεξα* *παγαῖς*] *ῥεύμασι δακρύων*

402 *ἀμέγαρτα*] *ἀφθόνητα καὶ μεγάλα* *τάδε*] *ἅπερ πάσχεις ἐστί*

403 *ἰδίοις νόμοις*] *ἤγουν τῷ οἰκείῳ θελήματι* *κρατύνων*] *ἄρχων*

404 *ὑπερήφανον*] *ὑπεροπτικήν, τραχεῖαν*

405 *πάρος*] *τοῖς προτέροις* *αἰχμάν*] *ἐξουσίαν*

406 Ante vers. *ἀντιστροφὴ κώλων θ'* *πρόπασα*] *ὅλη* *ἤδη*] *νῦν* *στονόεν*] *θρηνητικόν* *λέλακε*] *ἤχησεν, ἐθρήνησε*

407 *μεγαλοσχήμονα*] *ἤγουν μεγάλην*

408 *ἀρχαιοπρεπῆ*] *τὴν ἀρχαίαν.* | *τὴν ἐξ ἀρχῆς σοι πρέπουσαν*

409 *ξυνομαιμόνου*] *ἀδελφοῦ, τοῦ Ἄτλαντος λέγω*

† *οὐ χρὴ γράφειν ἐνταῦθα ξυνομαι<μόνων τι>μήν, ἀλλὰ ξυνομαιμόνου· οὐ γάρ τινος ἑτέρου τῶν ἀδελφῶν Προμηθέως ἐνταῦθα μέμνηται, πλὴν αὐτοῦ Προμηθέως καὶ Ἄτλαντος. εἰ γὰρ καὶ τὸν Μενοίτιον τούτου φασὶν ἀδελφὸν εἶναι, ἀλλ' οὐδαμῶς ἐνταῦθα τούτου Αἰσχύλος μέμνηται. καί μοι δοκεῖ ὡς οὐ πέπονθεν οὗτος ὑπὸ Διός· εἰ γὰρ πέπονθε, <ἐμν>ήσθη <ἂν> ἐνταῦθα καὶ <τούτου>. <δῆλον> δὲ καὶ ἐκ τοῦ πρότερον εἰρημένου "<καὶ> τοῦ κασιγνήτου τύχαι τ<είρουσ'> Ἄτλαντος"* (347). . . . *ὃς ἢ* (or *οὗ*) *ἐκεῖ μέμνηται ἀδελφὸς Προμηθέως, ὥς τινες οἴονται, οὐκ ἂν αἱ τύχαι τοῦ κασιγνήτου εἴρηκεν, ἀλλὰ τῶν κασιγνήτων· ἐνταῦθα δὲ ξυνομαιμόνων εἰπών, οὐκ ἂν τοῦ ἑνὸς μνησθεὶς ἤτοι τοῦ Ἄτλαντος τὸν ἕτερον εἴασεν ἀλλ' ἐμνήσθη <ἂν> κἀκείνου. νῦν δὲ τούτων οὕτως εἰρημένων, συνάγεται μήτε τὸν Τυφῶνα Προμηθέως ἀδελφὸν εἶναι μήτε τὸν Μενοίτιον ὑπὸ <Διὸς> πεπονθέναι ἐπεὶ μὴ τούτου Αἰσχύλος ἐνταῦθα μέμνηται*

410 Πρῶτον κατὰ ἄθροισιν εἰπὼν πρόπασα χώρα, εἶτα κατὰ μερισμὸν ἐπήνεγκεν ὁπόσοι   ἔποικον] ποταπόν; | ἐγκάτοικον   ἁγνᾶς] καθαρᾶς διὰ τὴν τοῦ ἡλίου ἀνατολήν

411 ἕδος] ἔδαφος   νέμονται] ἤγουν οἰκοῦσι

412 μεγαλοστόνοισι] τοῖς μεγάλων δεομένοις στεναγμάτων   πήμασι] δυστυχήμασι

414 συγκάμνουσι] συμπάσχουσι   θνατοί] οἱ ἄνθρωποι

415 Ante vers. στροφὴ ἑτέρα κώλων ε′

ἡμέτερα † Κολχίδος τε γᾶς: τῆς $β^{τέρας}$ ταυτησὶ στροφῆς τὰ κῶλα ε′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α′ τὸ $β^{τερον}$ καὶ τὸ γ′, τροχαϊκὰ δίμετρα ἀκατάληκτα. τὸ δ′ περίοδος ἤτοι δίμετρον ἀκατάληκτον, ἐκ τροχαϊκῆς καὶ ἰαμβικῆς συζυγίας· οὕτω γὰρ τὸ τοιοῦτον ὀνομάζεται μέτρον· σύγκειται δὲ οὐ μόνον ἐκ τροχαϊκῆς καὶ ἰαμβικῆς συζυγίας, ἀλλὰ καὶ ἀνάπαλιν, ἤτοι ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς. τὸ ε′ χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ βακχείου. ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος μόνη

Κολχίδος] ἥτις ἐστὶν ἐν Σκυθίᾳ   ἔνοικοι] ἐγκάτοικοι

416 παρθένοι] αἱ Ἀμαζόνες συγκάμνουσιν   μάχας] κατὰ   ἄτρεστοι] ἄφοβοι, ἀκαταγώνιστοι

417 καὶ Σκύθης ὅμιλος] ἤγουν οἱ Σκύθαι περιφραστικῶς συγκάμνουσι ὅμιλος] τὸ πλῆθος

418 ἔσχατον] ἀκρότατον   ἀμφὶ Μαιῶτιν] περὶ τὴν Μαιῶτιν λίμνην

420 Ante vers. ἀντιστροφὴ κώλων ε′   Ἀραβίας] ἀντὶ μιᾶς. | ἤγουν οἱ Ἄραβες   ἄρειον] τὸ πολεμικὸν καὶ ἐξαίρετον γένος συγκάμνει   ἄνθος] διὰ τὴν τούτων εὐδαιμονίαν ἄνθος αὐτοὺς καλεῖ

421 † οἱ προστιθέντες κἀνταῦθα τὸ τε καὶ λέγοντες ὑψίκρημνόν θ' <οἵ> πόλισμα, ἀγνοοῦσι τὰ μέτρα· σὺ δὲ οὕτω λέγε· καὶ τὸ ἄρειον καὶ πολεμικὸν ἄνθος τῆς Ἀραβίας, ἤγουν οἱ Ἄραβες περιφραστικῶς, οἳ νέμουσι καὶ οἰκοῦσι πόλισμα ὑψίκρημνον πέ<λας ἤτοι πλησίον> τοῦ Καυκάσου, ὁ δάϊος στρατὸς καὶ τὰ ἑξῆς· οὐ γὰρ οἶμαι τοὺς ἐν Ἀσίᾳ <λέγειν> Ἄραβας τοὺς τὴν Ἀραβίαν οἰκοῦντας τὴν καλουμένην εὐδαίμονα· εἰ καὶ καθόλου γὰρ τοὺς τὴν Ἀσίαν οἰκοῦντας ἔφη τοὺς συγκάμνοντας, ἀλλ' οὐδένα τούτων εἴρηκεν εἰ μὴ μόν<ους?> τοὺς περὶ τὸν Καύκασον οἰκοῦντας, Σκύθας λέγω καὶ Ἀμαζόνας, ἀλλά τινας ἑτέρους φησὶν Ἄραβας πέλας τοῦ Καυκάσου οἰκοῦντας. εἰ δ' οὐ βούλεταί τις ἔχειν τοῦθ' οὕτως, ἀλλ' ἕτερον εἶναι νομίζει <ὅ?>φησι δάϊον στρατόν, ἀλλ' <οὕτ>ως λεγέτω . . . (two short lines illegible)   ὑψίκρημνον] τὸ τραχὺ καὶ κρημνῶδες   πόλισμα] πόλιν

422 Καυκάσου] *τοῦ ὄρους* *πέλας*] *πλησίον* *νέμουσιν*] *οἰκοῦσι*

423 *δάϊος*] *πολεμικός* *στρατός*] *οἱ* Κολχοὶ *συγκάμνουσιν*

424 *ὀξυπρῴροισι*] *ὀξέα βέλη ἐχούσαις* *βρέμων*] *ἠχῶν, μεγαλαυχῶν* *αἰχμαῖς*] *βέλεσιν ἢ δόρασιν*

425 Ante vers. *ἐπῳδὸς κώλων ιβ'*

† *μόνον δὴ πρόσθεν ἄλλων: τοῦτο καλεῖται ἐπῳδὸς διὰ τὸ μετὰ τὰς στροφὰς ᾄδεσθαι καὶ ἔστι κώλων ιβ'.*[1] *τὸ α' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἐπιτρίτων πρώτων δύο καὶ ἰάμβου. τὸ β*^τερον^ *προσοδιακὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος β*^τέρου^ *ἀντὶ ἰωνικοῦ καὶ χοριάμβου. τὸ γ' ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον καταληκτικόν, ἐξ ἰωνικῶν δύο καὶ δακτύλου. τὸ δ' ὅμοιον ἀπ' ἐλάττονος, ἐξ ἐπιτρίτου γ' παίωνος γ' ἀντὶ ἰωνικοῦ καὶ δακτύλου· <εἰ δὲ βούλει>, εἴη ἂν καὶ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, τοῦ τρίτου ποδὸς ἀναπαίστου. τὸ ε' ὅμοιον τρίμετρον βραχυκατάληκτον, ἐκ διϊάμβου παίωνος γ' ἀντὶ ἰωνικοῦ καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον· εἰ δὲ βούλει, ἀσυνάρτητον ἐξ ἰαμβικῆς καὶ ἀναπαιστικῆς συζυγίας. τὸ ς' ἰαμβικὸν δίμετρον καταληκτικόν, ὃ καλεῖται* Ἀνακρεόντειον *ἐφθημιμερές. τὸ ζ' ὅμοιον δίμετρον ἀκατάληκτον, ὃ καλεῖται καὶ αὐτὸ* Ἀνακρεόντειον. *τὸ η' τροχαϊκὸν πενθημιμερές. τὸ θ' χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ διϊάμβου καὶ χοριάμβου. τὸ ι' ὅμοιον τῷ ς', ἰαμβικόν. τὸ ια' δακτυλικὸν ἐφθημιμερές. τὸ ιβ' ἰαμβικὸν ἐφθημιμερὲς ὅμοιον τῷ ς'. ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος· ταῦτα γάρ εἰσι σημεῖα τοῦ τέλους τῆς ἐπῳδοῦ*

μόνον] *ὃν* (or *οἷον*?) *πρόσθεν*] *πρότερον* *ἄλλων*] *θεῶν δηλονότι*

426 *δαμέντ'*] *κολασθέντα* *ἀκαμαντοδέτοις*] *μεγάλαις, ἰσχυραῖς*

† *οὐ χρὴ λέγειν ἐνταῦθα μόνον θεὸν* Τιτᾶνα *τὸν* Τυφῶνα, *ὥς τινες οἴονται· οὐ γὰρ περὶ* Τυφῶνός *ἐστι τῷ χορῷ νῦν λόγος, ἀλλὰ περὶ* Προμηθέως *καὶ* Ἄτλαντος. *οὕτω δὲ λέγε· μόνον σὲ θεὸν* Τιτᾶνα *<εἰσιδόμαν δαμέντα>ἐν πόνοις ἀκαμαντοδέτοις ἐν λύμαις λέγω, πρόσθεν τῶν ἄλλων θεῶν δηλονότι, καὶ τὸν <*Ἄτλαντα *καὶ τὰ ἑξῆς>*

427 Τιτᾶνα] Τ<*υφῶνα*?> *λύμαις*] *βλάβαις* *εἰσιδόμαν*] *εἶδον*

428 Οὐ *μόνον* Ἄτλας Ἄτλαντος *ἀλλὰ καὶ* Ἄτλας Ἄτλα· *καὶ μαρτυρεῖ τὸ* Ἀτλαγενέων. *ἔστιν οὖν ἐνταῦθα* Ἄτλαν *κατὰ ποιητικὴν κλίσιν. τὸ γὰρ θ̄, τέ ἐστιν· ἢ τὸ* Τιτᾶνα *μὴ ἐκληπτέον εἰς τὸν* Τυφῶνα, *ἀλλὰ συναπτέον πρὸς τὸ* Ἄτλαντα. *καὶ οὕτως οὐκ ἂν τὸ θ̄ ἀντὶ τοῦ τε̄ εἴποις, ἀλλὰ* Ἄτλαντα·

[1] 425–435: colon 1 *μόνον δὴ πρόσθεν ἐν πόνοις*, 2 *δαμέντ' ἀκαματοδέτοις*, 3 Τιτᾶνα . . . *θεόν*, 4 Ἄτλανθ' *ὃς αἰὲν ὑπείροχον σθένος*, 5 *κραταιὸν οὐράνιόν τε πόλον*, 6 = 430, 7 = 431, 8 *ξυμπίτνων στένει*, 9 *βύθος κελαινὸς δ'* Ἄϊδος, 10 *ὑποβρέμει μυχὸς γᾶς*, 11 = 434, 12 = 435.

τὸ δὲ μέγα σθένος καὶ τὸ κραταιὸν οὐράνιον πόλον, ἐκ παραλλήλου· ἐνέβαλε δὲ διαμέσου τὴν τοῦ Ἄτλαντος ἱστορίαν

Ἄτλας ἀλληγορικῶς ὁ ἄξων ἐστίν, ὁ διακρίνων τὸ ὑπὲρ γῆς καὶ ὑπὸ γῆν ἡμισφαίριον· Ἰαπετοῦ δὲ ἤγουν τῆς κινήσεως τοῦ οὐρανοῦ παῖς ἦν. κατ' ἀρχὰς γὰρ συγκεχυμένου τοῦδε τοῦ παντὸς κοσμικοῦ σώματος συνέβη καθ' Ἕλληνας τὸν ἀέρα ἤγουν τὸν Δία σφοδροτέρας κινήσεως τετυχηκέναι καὶ οὕτω διορίσαι τὸ ἄνω καὶ κάτω ἡμισφαίριον καὶ διαρθρῶσαι τὸ πᾶν, ὥστε νοηθῆναι καὶ τὸν ἄξονα· κίονες δέ, οὓς ὁ ἄξων οὗτος κατέχει, ὁ βόρειος πόλος ἐστὶ καὶ ὁ νότιος, " οἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσι " καθ' Ὅμηρον (α 54)

Ἄτλανθ'] εἶδον, ἀπὸ κοινοῦ   ὑπείροχον] ὑπέροχον, μέγα

429 κραταιὸν] ἰσχυρὸν λέγω   οὐράνιον] τὴν οὐρανίαν σφαῖραν

430 ὑποστενάζει] μετ' ὀδύνης ὑπανέχει καὶ στεναγμοῦ   βοᾷ] διὰ τὸ σὸν πάθος   πόντιος κλύδων] ἤγουν ὁ πόντος περιφραστικῶς

431 ξυμπίπτων] συγκρούων   στένει] στενάζει

432 βυθός] τὸ βάθος τῆς θαλάσσης   κελαινός] σκοτεινός, μέλας

433 ὑποβρέμει] ὑπηχεῖ καὶ οἷον θρηνεῖ

434 ἁγνορύτων] τῶν καθαρῶς ῥεόντων· ἤτοι τῶν καθαρῶν διὰ τὸ μέτρον

435 στένουσιν] στενάζουσιν   ἄλγος] τὸ σόν   ἄλγος οἰκτρόν] † ἤγουν τὴν σὴν λύπην τὴν ἀξίαν οἴκτου

436 † <μή τοι χλιδῇ δοκεῖτε: αἱ ἑξῆς αὗται> συστηματικαὶ περίοδοι <στίχων εἰσὶν ἰαμβι>κῶν τριμέτρων<ἀκαταλήκτων ϙ'>, ὧν τελευταῖος "δεσμοὺς ἀεικεῖς καὶ δύας ἐκφυγγάνω" (525). <ἐπὶ ταῖς> ἀποθέσεσι παράγραφος· <ἐπὶ δὲ τῷ> τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν καὶ εἰσιόντος τοῦ χοροῦ

Μή τοι χλιδῇ: σιωπῶσι τὰ πρόσωπα παρὰ τοῖς ποιηταῖς, ἢ δι' αὐθάδειαν ὡς Ἀχιλλεὺς ἐν Φρυξὶ Σοφοκλέους, ἢ διὰ συμφορὰν ὡς Νιόβη παρ' Αἰσχύλῳ, ἢ διὰ περίσκεψιν ὡς ὁ Ζεὺς παρὰ τῷ ποιητῇ (Α 512) πρὸς τὸν . . . κἀνταῦθα . . . φησιν . . . ὁ Ζεύς   χλιδῇ] ἀκ<κ>ισμῷ, θρύψει, τρυφῇ   αὐθαδίᾳ] ὑπεροψίᾳ. | Ἰωνικόν

437 συννοίᾳ] κατὰ νοῦν φροντίδι καὶ σκέψει   δάπτομαι] τιτρώσκομαι   κέαρ] τὴν ψυχήν

438 ὧδε] οὕτω   προσσελούμενον] ὑβριζόμενον, ἀτιμαζόμενον ἐκ τούτου· καὶ πρόσσελοι οἱ ὑβρισταί

439 τοῖς νέοις τούτοις] τοῖς συνοῦσι τῷ Διί   γέρα] τιμάς

Εἰ καὶ ὁ Ζεὺς <ἀπονέμει>τὰς τιμάς, <οὗτος δὲ κατὰ τὸ> προσῆκον ἑκάστῳ διετάξατο· ἢ τὸ θεοῖς τοῖς νέοις διὰ τὸν Δία μόνον νοητέον· αὐτῷ γὰρ τὴν

βασιλείαν, <ὡς καὶ πρόσθεν ἔφη>, Προμηθεὺς συγκατεσκεύασεν, ἵν' ᾖ τὸ διώρισεν ἀντὶ τοῦ κεχωρισμένως τῶν ἄλλων αὐτῷ παρέσχεν

440 *παντελῶς*] *τελείως* *διώρισεν*] *διεμέρισε κατ' ἀξίαν*

441 *εἰδυίαισιν*] *γινωσκούσαις*

442 *πήματα*] *ἅπερ ἔπασχον πρότερον*

443 *ὡς*] *πῶς ἢ ὅτι* *σφᾶς*] *αὐτούς* *ἠπίους*] *ἄφρονας*

444 *ἔθηκα*] *ἐποίησα* *φρενῶν*] *γνώσεως* *ἐπηβόλους*] *μετόχους*

445 *μέμψιν οὔτιν'*] *ἤγουν οὐ μεμφόμενος αὐτοῖς*

446 *δέδωκ'*] *αὐτοῖς* *εὔνοιαν*] *ἤγουν τὸ φίλτρον*

447 *οἳ πρῶτα*] *οἱ ἄνθρωποι* *βλέποντες*] *τοῖς ὀφθαλμοῖς*

Ἔβλεπον μάτην διὰ τὸ τοὺς τοῦ νοῦ ὀφθαλμοὺς τυφλοὺς ἔχειν καὶ μὴ εἰδέναι τί δεῖ ποιεῖν

448 *κλύοντες*] *ἀκούοντες* *οὐκ ἤκουον*] *διὰ τὸ μὴ ἔχειν τὸν νοῦν ἐν τοῖς ἀκουομένοις· νοῦς γὰρ ὁρᾷ καὶ νοῦς ἀκούει*

449 *ἐναλίγκιοι*] *ὅμοιοι* *μορφαῖσι*] *εἰδώλοις, ἤγουν μηδὲν ὄντες*
χρόνον] *τὴν ζωὴν αὐτῶν*

ἡμέτερα † *τοῦτο λέγει ὡς μακρὸν χρόνον ζώντων τῶν τότε ἀνθρώπων, πολυχρόνιοι γὰρ ἐγένοντο· εἰ δὲ μακρὸν βίον καὶ τὸν ἀεὶ ἐκτεινόμενον ἐρεῖς καὶ μηδαμοῦ λήγοντα, οὐκ ἀπεικότως δόξεις ἐρεῖν*

450 *ἔφυρον*] *ἐκύκων, ἐτάραττον* *εἰκῇ*] *μάτην* *πλινθυφεῖς*] *ἐκ πλίνθων κατεσκευασμένους*

451 (*προσείλους εἶσαν*) † *ἐν τοῖς ἄγαν παλαιοῖς τῶν ἀντιγράφων καὶ τὸ προσείλους διὰ διφθόγγου εὕρηται καὶ τὸ εἶσαν· καὶ δοκεῖ μοι οὕτω βέλτιον εἶναι ταῦτα γράφειν ἢ διὰ τοῦ η̄· τὸ μὲν γὰρ προσείλους σημαίνει τὸ θέρμην ἔχοντας, ἀπὸ τοῦ εἴλη ἡ θέρμη· τὸ δὲ εἶσαν, ἀντὶ τοῦ κτίσαντες ᾤκουν. δῆλον δὲ τοῦτο ἀπὸ τοῦ ἔναιον. γίνεται δὲ τὸ εἶσαν ἀπὸ τοῦ εἴδω, τὸ κτίζω, εἴσω εἶσα*

προσείλους] *θέρμην ἔχοντας* *εἶσαν*] *ἤγουν κτίσαντες ᾤκουν* *ξυλουργίαν*] *ἤγουν οἰκίαν ἐκ ξυλουργίας κατεσκευασμένην.* | *ἀπὸ τοῦ ποιοῦντος τὸ ποιηθέν*

452 *κατώρυχες*] *ὑπὸ γῆν κατορωρυγμένοι* *ἔναιον*] *ᾤκουν* *ἀείσυροι*] *ἀεὶ συρόμενοι καὶ ἕρποντες*

453 *ἄντρων*] *τῶν ὑπογείων σπηλαίων* *ἐν μυχοῖς ἀνηλίοις*] *βάθεσι, σκοτεινοῖς τόποις ἔνθα οὐ φωτίζει ἥλιος*

454 *χείματος*] *χειμῶνος* *τέκμαρ*] *σημεῖον*

† *τοῦτο πρὸς τὸ μακρὸν βίον συναπτέον, οὕτως· ἔφυρον δὲ καὶ συνέχεον πάντα τὸν μακρὸν βίον εἰκῇ καὶ μάτην. οὐδὲν γὰρ ἦν αὐτοῖς σημεῖον οὔτε χειμῶνος οὔτε ἔαρος οὔτε θέρους<οὔτε. φθιν->οπώρου· ἤγουν οὐδὲν τούτων*

ᾔδεσαν<ὡς ἑκάστῳ> τὰ πρόσφορα τεχνάζεσθαι καὶ . . . τέθειται. τοὺς τρεῖς δὲ καιροὺς θεὶς τὸ φθινόπωρον παρέλιπεν ἐάσας κἀκεῖνο τοῖς τρισὶ . . . εἶσθαι . . . οὗτος παρὰ . . . ατισμός

455 ἀνθημώδους] ἄνθη ἔχοντος, ἀνθηροῦ ἦρος] ἔαρος καρπίμου] τοῦ τοὺς καρποὺς φέροντος

456 βέβαιον] πιστόν ἄτερ γνώμης] ἄνευ τοῦ λελογισμένου

457 ἔπρασσον] ἐποίουν ἔστε] ἕως οὗ σφιν] αὐτοῖς ἀντολὰς] δι' ὧν τοὺς καιροὺς γινώσκοιεν

458 ἄστρων] ἤγουν τῶν ζωδίων δυσκρίτους] δυσγνώστους

459 ἔξοχον] ὑπέρτατον τῶν ἄλλων μηχανημάτων

460 συνθέσεις] συνθήκας

461 ἁπάντων] ὧν εἶδον καὶ ἤκουσα

Μουσομήτορα: ἢ τὴν συνετωτάτην μητέρα, ἢ τὴν τῶν Μουσῶν μητέρα. ὁ γὰρ μνημονικώτατος σοφώτατός τέ ἐστι καὶ πάνθ' ὅσα βούλεται πράττειν μεστά εἰσι γνώσεως μουσομήτορ'] τὴν τῆς γνώσεως μητέρα

462 κνώδαλα] ἤγουν βόας ἢ ὑποζύγια

463 Ζεύγλαισι δουλεύοντα: ἤγουν οὐ μόνον τῷ ζεύγνυσθαι ὑπηρετοῦντα ἀνθρώποις πρὸς τὴν τῆς γῆς ἐργασίαν, ἀλλὰ καὶ τῷ ἐπισάττεσθαι καὶ φόρτους ἐπάνω σωμάτων αἴρειν σκευοφοροῦντα. ἢ πρὸς τὸ δουλεύοντα στικτέον, ἵν' ᾖ τὸ σώμασι διὰ τοὺς ἵππους· οὕτω καὶ ὑφ' ἅρματα ἤγαγον φιληνίους ἵππους ὅπως γένωνται τοῖς θνητοῖς διάδοχοι τῶν μεγίστων <μοχθ>ημάτων ἐν τοῖς σώμασιν αὐτῶν δηλονότι. κρεῖττον δὲ τοῦτο τοῦ προτέρου· ὥστε τὸ δουλεύοντα ἀντὶ τοῦ ὑπείκοντα νοητέον. κνώδαλα δὲ νῦν τοὺς βόας λέγει ἢ τὰ ὑποζύγια καταχρηστικῶς· κυρίως γὰρ κνώδαλα τὰ θηρία τά τε θαλάσσια καὶ τὰ χερσαῖα. καὶ Ἡσίοδος, "κνώδαλ', ὅσ' ἤπειρος πολλὰ τρέφει ἠδὲ θάλασσα" (Theog. 582)

ζεύγλαισι] † ἤγουν τοῖς ζυγοῖς ἀπὸ μέρους δουλεύοντα] ὑπείκοντα σώμασιν] ἐν

464 θνητοῖς] ἤγουν τοῖς ἀνθρώποις διάδοχοι] αἴροντες αὐτοὺς καὶ οὐκ ἐῶντες μοχθεῖν πεζῇ βαδ<ίζοντας>

465 φιληνίους] τοὺς φιλοῦντας <τὸν χαλινόν>

466 ἄγαλμα] καλλώπισμα ὄντας δηλονότι ὑπερπλούτου χλιδῆς] τῆς μεγάλης τρυφῆς

467 θαλασσόπλακτα] τὰ ἐν θαλάσσῃ ἐρχόμενα ἢ πλανώμενα καὶ πορευόμενα

468 λινόπτερ'] τὰ ἔχοντα τὰ πτερὰ ἤτοι τὰ ἅρματα ἐκ λίνου ναυτίλων] πλωτήρων ὀχήματα] ἤγουν τὰ σκάφη οἷς ἐποχοῦν<ται οἱ ναῦται>

469 *τοιαῦτα*] *ἀπόθεσις ἤτοι συμπέρασμα* *μηχανήματ'*] *εὑρήματα*

470 *σόφισμ'*] *τέχνασμα καὶ πανουργίαν*

471 *παρούσης*] *ἐμοί* *πημονῆς*] *βλάβης ἤτοι τοῦ δεσμοῦ*

472 *πέπονθας*] † *ἔπαθες ἢ πάσχεις* *ἀεικὲς*] *ἀπρεπὲς καὶ ἀνάρμοστον*

ἀποσφαλεὶς φρενῶν] *ἐκπεσὼν τοῦ λελογισμένου· οὐ γὰρ ἔδει σε τοιαῦτα λέγειν ἀνάξια τοῦ ὀνόματος*

473 Εὕρηται *καὶ πλάνᾳ καὶ πλανᾷ· πρὸς μὲν οὖν τὸ πλάνᾳ οὕτω λέγε· ἀποσφαλεὶς τῶν φρενῶν ἐν πλάνῃ, τουτέστιν ἐκπεσὼν τοῦ φρονεῖν καὶ πλανηθείς. εἰ δὲ πλανᾷ γράψεις πρὸς τὸ ῥῆμα στίξας, ἀσυνδέτως τὸ λοιπὸν ἐρεῖς, οὕτως· ἀποσφαλεὶς καὶ ἐκπεσὼν τῶν φρενῶν πλανᾷ καὶ πεπλανημένος φέρῃ*

κακὸς] *ἀμαθής* *ὡς*] *ὥσπερ*

474 *ἀθυμεῖς*] *δυσχεραίνεις καὶ ὀλιγοψυχεῖς* *οὐκ ἔχεις*] *ἤγουν οὐ δύνασαι*

475 *ὁποίοις*] *ἤγουν τίσι* *ἰάσιμος*] *ἤγουν δυνατὸς θεραπευθῆναι ἔσται*

476 *τὰ λοιπὰ*] *σοφίσματα δηλονότι* *κλύουσα*] *ἀκούουσα* *πλέον*] *ἢ νῦν ἐθαύμασας*

477 *πόρους*] *μηχανάς* *ἐμησάμην*] *ἐβουλευσάμην καὶ ἔβαλον αὐτοῖς κατὰ νοῦν πράττειν*

478 *τις*] *αὐτῶν* *πέσοι*] *ἔπεσεν,* Ἀττικόν

479 *ἦν*] *αὐτῷ* *ἀλέξημ'*] *ἀποσόβησις τῆς νόσου* *βρώσιμον*] *ὃ φαγὼν ῥαΐσει τῆς νόσου καὶ παύσεται*

ἡμέτερον † *ὅτι τῶν φαρμάκων τὰ μέν εἰσι βρώσιμα, τὰ δέ, πιστά, ἤγουν πινόμενα, τὰ δέ, χριστὰ ἤγουν χριόμενα, τὰ δέ, παστὰ ἤγουν παττόμενα. ἐνταῦθα δὲ τῶν τριῶν μνησθεὶς τὸ ἓν εἴασεν. ἀλλὰ καὶ* Θεόκριτος (11.1–3) *τῶν δύο μνησθεὶς τὰ λοιπὰ εἴασε· φησὶ γάρ·*

> *οὐδὲν ποττὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο*
> Νικία, *οὔτ' ἔγχριστον, ἐμὶν δοκεῖ, οὔτ' ἐπίπαστον,*
> *ἢ ταὶ* Πιερίδες

480 *χριστόν*] *χριόμενον* *πιστόν*] *πινόμενον ἀπὸ τοῦ πίω πίσω.*

481 *κατεσκέλλοντο*] *ἀπέθνησκον· οἱ γὰρ θανόντες ξηροί εἰσιν.* | *κατετήκοντο ξηραινόμενοι* *πρίν*] *ἑῶς οὗ*

482 *κράσεις*] *ἑνώσεις, μίξεις* *ἠπίων*] † *ἡμέρων* *ἀκεσμάτων*] *τῶν τὰς ἀλγηδόνας παυόντων φαρμάκων.* | *θεραπευμάτων*

483 *αἷς*] *κράσεσι* *ἐξαμύνονται*] *καταγωνίζονται, ἀποσοβοῦσι*

484 *τρόπους*] *ὁδούς* *ἐστοίχισα*] *ἔταξα*

485 *κἄκρινα*] <*δι*>*έκρινα, κεχωρισμένως εἶπον* *χρὴ*] *ἀπόκειται*

486 *ὕπαρ*] *φανερῶς* *κληδόνας*] *μαντείας* *δυσκρίτους*] *δυσγνώστους*

487 ἐγνώρισ'] γνωρίμους ἐποίησα ἐνοδίους τε συμβόλους] τὰ κατὰ τὴν ὁδὸν συναντήματα δι' ὧν δεῖ συμβάλλειν καὶ μαντεύεσθαι

488 γαμψωνύχων] ἀγκύλους ἐχόντων ὄνυχας οἰωνῶν] ὀρνέων ἁπλῶς σκεθρῶς] ἀκριβῶς

489 διώρισ'] διωρισμένως καὶ κεχωρισμένως ἔταξα δεξιοὶ] ἐπιτήδειοι πρὸς μαντείαν

490 εὐωνύμους] κακὰ μαντευομένους δίαιταν] διαγωγήν

Δέον εἰπεῖν καὶ οἵτινές εἰσιν εὐώνυμοι, εὐωνύμους εἶπε πρὸς τὸ διώρισα, ὥσπερ καὶ προιὼν ἐρεῖ τὸ λειότητα καὶ τὸ ποικίλην εὐμορφίαν

491 ἕκαστοι] τούτων

492 στέργηθρα] φιλίαι συνεδρίαι] κοινωνίαι καὶ συναγελασμοί

493 σπλάγχνων] τῶν ἐγκάτων λειότητα] τοιαῦτα γὰρ τὰ ἔγκατα λεῖα

494 ἔχοντ'] ταῦτα τὰ σπλάγχνα δαίμοσι] τοῖς θεοῖς ἡδονήν] εὐφροσύνην

495 Ὅτι οἱ θύοντες καὶ τὴν χολὴν εὑρόντες τοιάνδε ἢ τοιάνδε, καὶ τὸν λοβόν, τοιοῦτον ἐσημαίνοντο καὶ τὸ πρᾶγμα γενήσεσθαι· εἰ δ' ἄλλως πάλιν εὗρον, τοιόνδε λοβοῦ] τοῦ ἄκρου τοῦ ἥπατος ποικίλην εὐμορφίαν] τοιοῦτον γὰρ τὸ χρῶμα τοῦ ἥπατος

496 † κνίσσα κυρίως ὁ ἀπὸ τῆς πιμελῆς ἀτμός· νῦν δὲ καταχρηστικῶς τὴν πιμελὴν λέγει, ἐν ᾗ τοὺς μηροὺς περιεκάλυπτον, ἀπὸ μέρους. ὀσφὺν δὲ μακράν, οὐ τὴν κοιλίαν φησίν, ὥς τισιν ἔδοξεν, ἀλλὰ τὸ τῆς ῥάχεως ὀστοῦν, ὅπερ ἀπὸ τῶν νεφρῶν διήκει μέχρι τῆς κεφαλῆς· τοῦτο γὰρ χωρίζοντες οἱ μάντεις τῶν τε μηρῶν, τῶν πλευρῶν, καὶ τῶν λοι<πῶν> τῶν παραφυομένων αὐτῷ ὀστέων ἐπὶ τῷ πυρὶ ἐτίθουν, καὶ διὰ τούτου τὰ συμβησόμενα ἐτέκμαιρον. διὰ τὸ ἐπίμηκες οὖν τυγχάνειν, ὀσφὺν μακρὰν ὠνόμασε τοῦτο· ὀσφὺν γὰρ τοὺς νεφροὺς καλοῦσι καὶ τὰ περὶ αὐτοὺς μέρη, ὅθεν καὶ <ἐκ τῆς> ὀσφύος τοῦ δεῖνος τὸν δεῖνα γεγενῆσθαί φαμεν, ἤγουν τοῦ σπέρματος· ἐν τοῖς νεφροῖς γὰρ τὸ σπέρμα συνίσταται. κνίσσῃ] πιμελῇ κῶλα] τοὺς μηροὺς λέγει συγκαλυπτὰ] περικεκαλυμμένα μακρὰν] ἐπιμήκη

497 ὀσφὺν] † ἤγουν τὸ ἀπὸ τῶν ὤμων μέχρι τῶν νεφρῶν ὀστοῦν τῆς ῥάχεως πυρώσας] καύσας δυστέκμαρτον] δυσκατανόητον τέχνην] ἤγουν τὴν θυτικὴν μαντείαν

498 ὥδωσα] ὡδοποίησα, ὡδήγησα φλογωπὰ σήματα] τὰ διὰ τῆς φλογὸς γινόμενα σημεῖα πρὸς τὸ μαντεύεσθαι

499 ἐξωμμάτωσα] ἐφανέρωσα πρόσθεν] πρότερον

Ἐπάργεμα: σκοτεινά, τυφλά, ἐκ μεταφορᾶς τοῦ ἐν τοῖς ὀφθαλμοῖς γινομένου ἐπιχύματος, ὃ καλοῦσι λεύκωμα. ἐπάργεμα] σκοτεινά, τυφλά

500 *τοιαῦτα*] *ἀπόθεσις* *ταῦτ'*] *ἃ ἔφην* *ἔνερθεν*] *ὑποκάτω* *χθονός*] *τῆς γῆς*

501 *ὠφελήματα*] *ἐγνώρισα ἀπὸ κοινοῦ*

503 *φήσειεν*] *εἴποι* *πάροιθεν*] *πρότερον*

504 *σάφ'*] *σαφῶς* *οἶδα*] *γινώσκω* *μάτην*] *ἤγουν ψευδῶς* *φλῦσαι*] *φλυαρῆσαι*

505 *βραχεῖ*] *συντόμῳ* *μύθῳ*] *λόγῳ* *συλλήβδην*] *συλληπτικῶς καὶ ἡνωμένως*

506 *βροτοῖσιν*] *τοῖς ἀνθρώποις* *ἐκ* Προμηθέως] *ἤγουν ἐξ ἐμοῦ*

507 Μὴ *τὴν σὴν πρὸς ἀνθρώπους φιλανθρωπίαν διεξιὼν διάτριβε· ἡ γὰρ τοιαύτη διατριβὴ ἔξω τοῦ πρέποντός ἐστιν· ἀλλὰ δεῖ καὶ σαυτοῦ πεποιῆσθαι φροντίδα* *καιροῦ πέρα*] *ἔξω τοῦ πρέποντος*

508 *ἀκήδει*] *ἀμέλει, μὴ ποιοῦ φροντίδα* *ὡς*] *ὅτι*

509 *εὔελπις*] *ἤγουν λίαν ἐλπίζω* *ἔτι*] *εἰς τὸ ἑξῆς*

510 *μεῖον*] *ἔλαττον* *ἰσχύσειν*] *δυνήσεσθαι*

511 *ταῦτα*] *ἤγουν τὸ λυθῆναί με* *ταύτῃ*] *οὕτως ἤγουν νῦν* *πω*] *ἀκμήν* *τελεσφόρος*] *ἡ εἰς τέλος φέρουσα πάντα*

ἡμέτερον † *δέον εἰπεῖν οὔπω πέπρωκεν ἡ μοῖρα ἡ τελεσφόρος κραθ<ῆναι> καὶ τελεσθῆναι ταῦτα οὕτως, ὁ δὲ πρὸς τὴν μοῖραν τὸν λόγον ἀπέδωκεν, εἰπὼν ἡ τελεσφόρος μοῖρα οὔπω πέπρωται καὶ μεμοίρασται κρᾶναι καὶ τελέσαι ταῦτα οὕτως ὥστε νῦν λυθῆναί με ἀλλὰ μετὰ πολλὰς πημονάς*

512 *κρᾶναι*] *τελέσαι* *πέπρωται*] *μεμοίρασται* *μυρίαις*] *πολλαῖς* *πημοναῖς*] *βλάβαις*

513 *δύαις*] *κακοπαθείαις* *καμφθεὶς*] *κατεργασθείς, ταλαιπωρήσας* *ὧδε*] *οὕτως* *φυγγάνω*] *φεύξομαι*

514 *τέχνη — ἀσθενεστέρα*] *ὥστε καὶ ἡ ἐμὴ τέχνη πρὸς τὴν τῶν* Μοιρῶν *ἀνάγκην οὐδέν τι πρᾶξαι δύναται* *μακρῷ*] *καταπολύ*

515 *ἀνάγκης*] *τῆς* *οἰακοστρόφος*] *κύριος, διοικητής, κυβερνήτης ἐκ μεταφορᾶς τῶν πλοίων*

516 Μοῖραι] Κλωθὼ Λάχεσις *καὶ* Ἄτροπος

Μνήμονες: *αἱ μνημονεύουσαι τῶν παρ' ἀνθρώποις κακῶν καὶ ἀντιδιδοῦσαι ποινάς* Ἐριννύες] Ἀλητὼ Μέγερα *καὶ* Τισιφόνη

517 *ἄρα*] † *συμπερασματικὸν τὸ ἄρα οὐκ ἐρωτηματικόν*

518 *οὔκουν*] *ναί* *τὴν πεπρωμένην*] *αὐτῷ μοῖραν*

519 *τί γὰρ πέπρωται*] *ποίαν πεπρωμένην* Ζηνὶ] *τῷ* Διί *πλὴν*] *εἰ μὴ* *κρατεῖν*] *ἄρχειν*

520 *πύθοιο*] *μάθοις* *λιπάρει*] *ἱκέτευε*

521 ἦ] ὄντως που] ἀργὸν σεμνὸν] μέγα, σεβάσμιον ξυναμπέχεις] κατέχεις παρὰ σαυτῷ καὶ οὐκ ἐκφαίνεις ἡμῖν. | † περικαλύπτεις

522 ἄλλου — μέμνησθε] † ἤγουν περὶ ἄλλου ἐρωτᾶτε τόνδε] τὸν περὶ τῆς τοῦ Διὸς πεπρωμένης

523 καιρὸς γεγωνεῖν] πρέπον λέγειν συγκαλυπτέος] ἄξιος ὑπάρχει κρύπτεσθαι

524 ὅσον] ἤγουν λίαν σώζων] φυλάττων παρ' ἐμαυτῷ καὶ μὴ ἐκφαίνων

525 ἐκφυγγάνω] ἐκφεύξομαι· ἵνα γὰρ αὐτὸν εἴπω, ἐκλύσεταί με Ζεὺς τοῦ δεσμοῦ

526 Ante vers. στροφὴ κώλων θ'

ἡμέτερον † μηδάμ' ὁ πάντα νέμων: τὰ τοιαῦτα εἴδη τῶν χορ<ῶν> καλεῖται κατὰ σχέσιν. κατὰ σχέσιν δέ ἐστιν, ὡς Ἡφαιστίων φησὶν (64.22), ὅσα δουλεύων ὁ ποιητὴς ἀνταποδόσει καὶ ἀνακυκλήσει γράφει. ἰστέον δὲ ὅτι καὶ τὰ ἐπῳδικὰ κατὰ σχέσιν ἐστίν. εἰσὶ δὴ τὰ παρόντα στροφῶν β' τῆς μὲν οὖν πρώτης στροφῆς τὰ κῶλα θ' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα.[1] τὸ α' χοριαμβικὸν δίμετρον καταληκτικόν, ἐκ χοριάμβου καὶ ἀναπαίστου· εἰ δὲ βούλει, δακτυλικὸν πενθημιμερὲς καθαρόν. τὸ β^{τερον} ὅμοιον χοριαμβικόν, ἐξ ἐπιτρίτου β^{τέρου} καὶ δακτύλου· εἴη δὲ καὶ τροχαϊκὸν ἐφθημιμερές. τὸ γ' χοριαμβικὸν μονόμετρον ὑπερκατάληκτον, ἐκ χοριάμβου καὶ συλλαβῆς. τὸ δ' ὅμοιον τρίμετρον καταληκτικόν, ἐξ ἐπιτρίτου β^{τέρου} χοριάμβου καὶ ἀναπαίστου. τὸ ε' προσοδιακὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. τὸ ϛ' χοριαμβικὸν τρίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου β^{τέρου} ἢ διτροχ<αίου> χοριάμβου καὶ διϊάμβου διὰ τὴν ἀδιάφορον· ἐν δὲ τῷ τῆς ἀντιστροφῆς κώλῳ χοριάμβους εὑρήσεις, καὶ ἀμφότερον. τὸ ζ' ὅμοιον τῷ πρώτῳ. τὸ η' τροχαϊκὸν ἐφθημιμερές. τὸ θ' ἰαμβικὸν ἐφθημιμερές. ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος

Εἰς φόβον ἐλθὼν ὁ χορὸς διὰ τὴν πρὸς τὸν Προμηθέα ὁμιλίαν, φησὶ μήποτε γένοιτο ὁ Ζεὺς ἐχθρὸς ἔμοιγε, μηδὲ παυσαίμην πρὸς τοὺς θεοὺς ἐρχομένη ἐν θυσίαις μεγάλαις ὁσίαις παρὰ τὸν Ὠκεανόν, τουτέστι μήποτε παυσαίμην τῆς πρὸς θεῶν τιμῆς μηδάμ'] μηδαμῶς νέμων] διεξάγων, διοικῶν

527 γνώμᾳ] γνώσει κράτος] ἰσχύν

528 ἀντίπαλον] ἐναντίον, ἐχθρόν

529 ἐλιννύσαιμι] βραδύναιμι καὶ ἀμελήσαιμι ὁσίαις] ἐντίμοις, ἁγίαις

[1] 526–535: cola 1–5 = 526–530, colon 6 βουφόνοις παρ' Ὠκεανοῦ πατρὸς πόρον, 7 = 533, 8 ἀλλά μοι τόδ' ἐμμένοι, 9 = 535. Antistrophe 536–544: colon 3 ἐλπίσι λαμπραῖς, 6 μυρίοις μόχθοισι διακναιόμενον, 8 οἰκείᾳ γνώμᾳ σέβῃ.

530 *θοίναις*] *εὐωχίαις, θυσίαις* *ποτινισσομένα*] *προσερχομένη*

531 *βουφόνοις*] *μεγάλαις ἢ ταῖς ἐκ βοῶν γινομέναις*

532 *πατρὸς*] *ἡμῶν*

(*πατρὸς πόρον*) † *περισσὸν ἦν ἐνταῦθα τὸ ἄσβεστον* [*πόρον*]· *διὸ ἐξεβλήθη παρ' ἐμοῦ· ὅμοιον γὰρ χρὴ τὸ κῶλον εἶναι πρὸς τὸ τῆς ἀντιστροφῆς*

533 Μηδ' ἀλίτοιμι λόγοις· *μηδὲ προσκρούσαιμι πρὸς αὐτοὺς ἐκ τοῦ πρὸς τὸν* Προμηθέα *διαλέγεσθαι· ἢ τὸ λόγοις ἀντὶ τοῦ μηδὲ διὰ λόγων ποτὲ πρὸς τὸν Δία ἁμάρτω* *ἀλίτοιμι*] *ἁμάρτοιμι* λόγοις] *ἐν*

534 *τόδ'*] *τὸ τιμᾶν τοὺς θεούς*

535 *ἐκτακείη*] *παυθείη, ῥεύσῃ ἐκ μεταφορᾶς τοῦ κηροῦ καὶ τῆς χιόνος*

536 Ante vers. *ἀντιστροφὴ κώλων θ'* *ἡδύ*] *εὔφραντόν* *θαρσαλέαις*] *θαρρεῖν παρεχούσαις*

537 *τὸν μακρὸν*] *τὸν πολύν* *τείνειν*] *ἐκτείνειν, διαβιβάζειν* *βίον*] *τὴν ζωὴν ἡμῶν*

538 λαμπραῖς] *ἐνδόξοις*

† λαμπραῖς *χρὴ γράφειν ἐνταῦθα, οὐ φαναῖς, ἵν' οἰκεῖον ᾖ τὸ κῶλον τῷ τῆς στροφῆς· ὡσαύτως καὶ οἰκείᾳ γνώμῃ γράφε, μὴ ἰδίᾳ· τροχαϊκὸν γάρ ἐστι τὸ κῶλον. εἰ δὲ τὸ μὲν τῆς στροφῆς κῶλον ἐκ τροχαίων συνίσταται, τοῦτο δ' ἐκ σπονδείου, οὐδὲν ἀπεικός· οἰκεῖοι γὰρ οἱ πόδες· τὸ ἰδίᾳ δὲ βραχέα ἔχει ἀμφότερα. εἰ δέ γ' ἐν τῷ φαναῖς δύο νν εὑρήσ<εις?> που κείμενα, τοῦτ' ἂν εἴη τὸ ἀληθές*

539 *θυμὸν*] *τὴν ἐμὴν ψυχήν* *ἀλδαίνουσαν*] *αὔξουσαν* *εὐφροσύναις*] *ἃς ἔχοιμ' ἂν εἰ τοὺς θεοὺς τιμῴην ἀεί*

540 *φρίσσω*] *τρέμω τὸν Δία* *δερκομένα*] *βλέπουσα*

541 *μυρίοις*] πολλοῖς *μόχθοισι*] *τιμωρίαις* *διακναιόμενον*] *κατεργαζόμενον*, λυπούμενον

542 Ζῆνα] *τὸν Δία* *τρομέων*] *τρέμων, φοβούμενος*

543 *οἰκείᾳ γνώμᾳ*] *ἰδίῳ θελήματι* *σέβῃ*] *τιμᾷς*

544 *θνατοὺς*] *τοὺς ἀνθρώπους* *ἄγαν*] λίαν Προμηθεῦ] *ὦ*

545 Ante vers. *στροφὴ ἑτέρα κώλων θ'*

ἡμέτερον † *φέρ' ὅπως: τῆς βτέρας ταυτησὶ στροφῆς τὰ κῶλα θ' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα.*[1] *τὸ α' ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον*

[1] 545–552: colon 1 *φέρ' . . . χάρις*, 2 *ὦ . . . ἀλκά*, 3 *τίς ἐφαμερίων*, 4 *ἄρηξις, οὐδ' ἐδέρχθης*, 5 = 548, 6 = 549, 7 *γένος ἐμπεποδισμένον*, 8 *οὔπω . . . ἁρμονίαν*, 9 = 552. Antistrophe 553–560: colon 1 *ἔμαθον τάδε σὰς προσι* — 2 *δοῦσα ὀλοὰς τύχας Προμηθεῦ*, 3 *τὸ διαμφίδιον*, 4 *δέ μοι μέλος προσέπτα*, 5 = 556, 6 = 557, 7 *ὅτε τὰν ὁμοπάτριον* 8 = 559, 9 = 560.

εἰς δισσύλαβον. τὸ $\beta^{\tau\epsilon\rho o\nu}$ χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ χοριάμβου διϊάμβου καὶ συλλαβῆς. τὸ γ' ἀναπαιστικὸν μονόμετρον. τὸ δ' ἰαμβικὸν ἑφθημιμερές. τὸ ε' ὅμοιον, τοῦ α' καὶ $\beta^{\tau\acute{\epsilon}\rho o\upsilon}$ ποδὸς ἀναπαίστου. τὸ ϛ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ζ' ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς· ἤτοι ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον εἰς δισύλλαβον. τὸ η' δακτυλικὸν ἑφθημιμερές. τὸ θ' ἰαμβικὸν καθαρὸν δίμετρον ὑπερκατάληκτον. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς κορωνὶς μόνη

Φέρε, ὦ φίλος, ἐπειδὴ ἣν εἰς τοὺς βροτοὺς πεποίηκας χάριν, ἄχαρις καὶ οὐκ ἀποδεκτὴ ἔδοξε τῷ Διί, εἰπὲ τί δύνανται νῦν οἱ ἄνθρωποι βοηθῆσαί σοι κακῶς δι' ἐκείνους πάσχοντι. ἢ οὕτως· ἐπειδὴ ἡ εἰς τοὺς βροτοὺς χάρις ἄχαρις ἔδοξε καὶ οὐδ' ἡντινοῦν ἀπ' αὐτ<ῶν ἔσχες>ὠφέλειαν διὰ τούτους παθών, λέξον τίς ἄλλη ἀλκὴ καὶ τῶν παρόντων ἀπαλλαγή ἐστί σοι ὅπως] ἐπεὶ ἄχαρις] ἐστί χάρις] ἡ πρὸς τοὺς ἀνθρώπους

546 ἀλκά] δύναμις, βοήθεια

547 Τίς ἐφαμερίων ἄρηξις: ἤγουν τί δύνανται οἱ βροτοὶ βοηθῆσαί σοι. ἢ οὕτως· ἡ βοήθεια ἣν πρὸς τοὺς βροτοὺς εἴργασαι, τί ὠφέλησέ σε; οὐδέν

ἐφαμερίων] ἀνθρώπων ἄρηξις] βοήθεια ἐδέρχθης] ἐθεάσω

548 ὀλιγοδρανίαν] ὀλίγην καὶ ἀσθενῆ δύναμιν ἄκικυν] φαύλην, ἀδύνατον

549 ἰσσόνειρον] ἤγουν ἀνυπόστατον ᾇ] ἥτινι φωτῶν] τῶν ἀνθρώπων

550 ἡμέτερον † περισσὸν ἦν ἐνταῦθα τὸ ἀλαόν· διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ. χρὴ γὰρ εἶναι τὸ κῶλον ὅμοιον τῷ τῆς ἀντιστροφῆς· ἦν γὰρ "ἀλαὸν γένος" ἐμπεποδισμένον] πεπεδημένον, κεκρατημένον ἐστίν

551 οὔπω] οὐδαμῶς τὰν Διὸς ἁρμονίαν] ἤγουν ὅπερ ἁρμόσεται καὶ ὁρίσει καὶ τάξει

Τὰν Διὸς ἁρμονίαν: ἤγουν ὅπερ ἁρμόσεται καὶ ὁρίσει καὶ τάξει· ὁ γὰρ θεὸς μετὰ ἁρμονίας καὶ ῥυθμοῦ καὶ τοῦ προσήκοντος λόγου πάντα ποιεῖ. ἢ οὕτως· ὃν ὁ Ζεὺς κολάσει, οὐδεὶς ἀνθρώπων ἐξελεῖν δύναται

552 θνατῶν] τῶν ἀνθρώπων παρεξίασι] ὑπερβαίνουσι, νικῶσιν

553 Ante vers. ἀντιστροφὴ κώλων θ' ἔμαθον] ἔγνων τάδε] ἃ φημι προσιδοῦσ'] ἰδοῦσα

554 ὀλοὰς] ὀλεθρίας Προμηθεῦ] ὦ

555 διαμφίδιον] διπλοῦν

Τὸ διπλοῦν δὲ μέλος ἐπῆλθέ μοι κατ<ὰ νοῦν τό τε μέ>λος ἤγουν τόδε ὃ νῦν ᾄδω, καὶ ἐκεῖνο ὅπερ ἀμφὶ τὰ σὰ λουτρὰ καὶ ἀμφὶ τὸ σὸν λέχος ὑμεναίουν καὶ ᾖδον, ὅτε τὴν Ἡσιόνην ἠγάγου γυναῖκα ὁμόλεκτρον καταπείσας

ἐν ἕδνοις ἤγουν δώροις, τὴν ὁμοπάτριον ἡμῖν, ἥτις ἦν μία τῶν Ὠκεανίδων ὥσπερ καὶ ἡμεῖς· τοῦτο (?) *γὰρ λέγει τὸ ὁμοπάτριον*

ἡμέτερον † *ὅπερ δηλῶσαι βούλεται τοιοῦτόν ἐστιν· ἐπῆλθέ μοι κατὰ νοῦν καὶ ὃ νῦν ᾄδω μέλος, καὶ ὃ ἦδον ἐν τοῖς σοῖς γάμοις, καὶ ἐκπλήττομαι λογιζομένη πῶς τὸ μὲν ἦν χαρᾶς τε καὶ εὐφροσύνης <πρόξενον>· τοιοῦτοι γὰρ οἱ ὑμέναιοι· τὸ δέ ἐστιν λυπηρὸν κατακλῶν καὶ πρὸς <οἶκτον> τὰς τῶν ἀκουόντων ψυχὰς ἐκκα<λούμενον. οὕτω> τὸ τόδε καὶ ἐκεῖνο <νοεῖν χρή· οἱ δ'> ἄλλως λέγοντες, οὐ <καλῶς>, οἶμαι, λέγουσιν, ὅτι ἕδνα λέγονται τὰ ἀπ' ἀνδρὸς πρὸς γυναῖκα δῶρα, προὶξ δὲ τὰ ἀπὸ γυναικὸς πρὸς ἄνδρα   προσέπτα] ἐπῆλθε κατὰ νοῦν*

556 *ὅ] ὅπερ   ἀμφὶ] περὶ   λουτρὰ] ἃ ὡς νυμφίος λέλουσαι*

557 *λέχος] τὸ   ὑμεναίουν] γαμικὸν ὕμνον ἦδον*

558 † *<περισσὸν ἦν> ἐνταῦθα τὸ ἰότητι γάμων· διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ. ὅμοιον γὰρ χρὴ εἶναι τὸ κῶλον τῷ τῆς <ἀντιστροφῆς· οὐ> χρὴ δέ, εἰ ἐν τῷ τελευταίῳ κώλῳ τῆς ἀντιστροφῆς ἴαμβος εὕρηται, θαυμάζειν ὅτι μὴ σπονδεῖον . . . ἰαμβικὸν γάρ ἐστι τὸ κῶλον, καὶ οἱ πόδες οἰκεῖοι τῷ μέτρῳ*

τὰν ὁμοπάτριον] τὴν ἀδελφὴν ἡμῶν τὴν ἐκ τοῦ πατρὸς ἡμῖν οὖσαν

559 *ἕδνοις] ἤγουν προιξίν.* | *ἐν   ἄγαγες] ἤγουν ἠγάγου δάμαρτα κοινόλεκτρον   Ἡσιόναν] τὴν*

560 *πιθὼν] καταπείσας   δάμαρτα] γυναῖκα   κοινόλεκτρον] ποταπήν;* | *ὁμόκοιτον*

561 Ante vers. *στροφὴ κώλων λβ'*

ἡμέτερον † *τίς γῆ, τί γένος: τὰ τοιαῦτα εἴδη καλεῖται μονοστροφικά. μονοστροφικὰ δέ εἰσιν, ὡς Ἡφαιστίων φησίν* (60.21), *ὁπόσα ὑπὸ μιᾶς στροφῆς καταμετρεῖται· καλεῖται δὲ καὶ μετρικὰ ἄτακτα, διότι μέτρῳ μὲν γέγραπται, οὔτε δὲ ὁμοιότητα ἔχει πρὸς ἄλληλα οὔτε ἀνακύκλησιν* (Hephaestion 65.3). *εἰσὶ δὲ τὰ παρόντα καὶ συστηματικὰ κατὰ περιορισμοὺς ἀνίσους· οἶμαι δὲ ὅτι διὰ τὸ παράφορον τῆς Ἰοῦς καὶ τὸ τῆς φρενὸς ἄστατον, διαφόροις μέτροις ἐχρήσατο καὶ ἀνίσοις κώλοις. εἰσὶν οὖν τῆς παρούσης στροφῆς πάντα τὰ κῶλα λβ'.*[1] *τὸ α' τὸ β' καὶ τὸ δ' ἀναπαιστικὰ δίμετρα*

[1] 561–587: cola 1–6 = 561–565, but in 562 *ὀρείοις* is added after *πετρίνοις* though it is neglected in the description above; colon 7 *ἆ ἆ ἔα ἔα*, 8 = 567, 9 *εἴδωλον Ἄργου γηγενοῦς*, 10 *ἀλευάδα φοβοῦμαι*, 11 = 568, 12 = 569, 13 = 570, 14 *ἀλλ' αὖ με τὰν τάλαιναν ἐξ ἐνέρων περῶν*, 15 *κυνηγετεῖ πλανᾷ τε νῆστιν ἀνὰ τὰν*, 16 *παραλίαν ψάμμον*, colon 17 = 574, 18 *ἀχέτας ὑπνοδόταν νόμον*, 19 *ἰώ ἰώ, ποῖ ποῖ, ποποῖ ποποῖ*, 20 *ποῖ ποῖ μ' ἄγουσι τηλέπλανοι πλάνοι*, 21 *τί ποτέ . . . ταῖς*, 22 *δ' ἐνέζευξας εὑρὼν ἆμαρ* — 23 *τοῦσαν ἐν πημοσύναις ἕ ἕ*, 24 = 580, 25 = 581, 26 *πυρὶ φλέξον ἢ χθονὶ κάλυψον*, 27 *ἢ ποντίοισι δάκεσι δὸς*, 28 *βοράν. μή δέ μοι*, 29 *φθονήσῃς εὐγμάτων ἄναξ*, 30 *ἄδδην . . . πλάνοι*, 31 = 586 (with *ὅποι* for *ὅπα*), 32 = 587.

ἀκατάληκτα. τὸ γ' καὶ ε' μονόμετρα ἤτοι ἀναπαιστικὴ βάσις. τὸ ϛ' δίμετρον καταληκτικὸν ἤτοι ἐφθημιμερές, ὃ καλεῖται παροιμιακόν· τούτῳ γὰρ ἐν ταῖς ἀποθέσεσι τῶν ἀναπαιστικῶν χρῶνται. τὸ ζ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ η' ἰαμβικὸν τρίμετρον καταληκτικὸν Ἀρχιλόχειον. τὸ θ' ὅμοιον δίμετρον ἀκατάληκτον. τὸ ι' ὅμοιον δίμετρον καταληκτικὸν ἤτοι ἐφθημιμερές. τὸ ια' ὅμοιον τῷ η'. τὸ ιβ' ἰωνικὸν τρίμετρον ἀκατάληκτον, ἐκ παιώνων δύο ἀντὶ ἰωνικῶν, δ' καὶ β^τέρου^, καὶ διϊάμβου. τὸ ιγ' ὅμοιον τῷ η'. τὸ ιδ' ἴαμβος τρίμετρος ἀκατάληκτος. τὸ ιε' ὅμοιον τῷ η', τοῦ ε' ποδὸς χορείου. τὸ ιϛ' παιωνικὸν ἡμιόλιον καθαρόν, ἐκ παίωνος δ^ου^ καὶ τροχαίου. τὸ ιζ' τροχαϊκὸν τρίμετρον καταληκτικόν, τοῦ πρώτου ποδὸς χορείου. τὸ ιη' ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ὑπερκατάληκτον, ἐκ διτροχαίου παίωνος γ' ἀντὶ ἰωνικοῦ καὶ συλλαβῆς. τὸ ιθ' καὶ κ' ἰαμβικὰ τρίμετρα βραχυκατάληκτα. τὸ κα' παιωνικὸν τρίμετρον ἀκατάληκτον ἐκ παιώνων τετάρτων. τὸ κβ^τερον^ ἀντισπαστικὸν Γλυκώνειον δίμετρον ἀκατάληκτον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου τρίτου διὰ τὴν ἀδιάφορον. τὸ κγ' ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου β^τέρου^ καὶ παίωνος β^τέρου^ ἀντὶ ἰωνικοῦ. τὸ κδ' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, τοῦ δ' ποδὸς ἀναπαίστου. τὸ κε' ἰαμβικὸν ἐφθημιμερές, τοῦ πρώτου ποδὸς χορείου. τὸ κϛ' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἀντισπάστου παίωνος πρώτου καὶ τροχαίου. τὸ κζ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ δ^ου^ ποδὸς χορείου. τὸ κη' ἀντισπαστικὸν πενθημιμερές, ὃ καλεῖται δοχμαϊκόν. τὸ κθ' ὅμοιον δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου πρώτου καὶ διϊάμβου. τὸ λ' ἰαμβικὸν ὅμοιον τῷ κζ', τοῦ β^τέρου^ ποδὸς ἀναπαίστου. τὸ λα' ἴαμβος τρίμετρος καθαρός. τὸ λβ^τερόν^ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται ἰθυφαλ[λ]ικόν. ἐπὶ τῷ τέλει παράγραφος μόνη

Ἡ τοῦ Ἰνάχου Ἰὼ εἰς βοῦν μεταβληθεῖσα παρὰ Διὸς ἵνα λάθῃ τὴν Ἥραν, καὶ οἰστρηλατουμένη, ἐλθοῦσα καὶ ἑτέρους διαφόρους τόπους, κατήντησε καὶ ἔνθα ἦν Προμηθεὺς δεδεμένος· καὶ ἰδοῦσα αὐτὸν οὕτως ἔχοντα, θαυμάζουσα ταῦτά φησιν

τίς γῆ] ἐστὶν ἣν βαίνω   τί γένος] τὸ ἐνταῦθα οἰκοῦν   φῶ] εἴπω λεύσσειν] βλέπειν

562 χαλινοῖς] δεσμοῖς

Τὸ πετρίνοις ἢ ἀντὶ τοῦ στερροῖς, ἢ διὰ τὸ ἐν τῇ τοῦ Καυκάσου πέτρᾳ προσηλοῦσθαι τοῦτό φησιν

563 χειμαζόμενον] δαμαζόμενον, πάσχοντα

Τίνος ἀμπλακίας: ἕνεκα τίνος κολάσεως, πταίσματος, ὀλέκῃ καὶ φθείρῃ· ἤγουν τί πταίσας καὶ κολασθεὶς ἐνταῦθα προσήλωσαι. καὶ εἰ μὲν περισπᾶ-

ται τὸ ποινᾶς, οὕτως, εἰ δὲ βαρύνεται, οὕτω· τίνος πταίσματος ὀλέκῃ καὶ μετὰ φθορᾶς δίδως ποινάς *ἀμπλακίας*] *ἁμαρτίας* *ποινὰς ὀλέκῃ*] *τιμωρίας μετὰ φθορᾶς δίδως*

564 *σήμηνον*] *δήλωσον, εἰπέ*

565 *ἡ μογερὰ*] *ἡ ἀθλία* *πεπλάνημαι*] † *ἤγουν πλαν*[*ω*]*μένη ἦλθον*

566 *χρίει*] *κεντεῖ, διεγείρει· ἤγουν οἰστροῦμαι καὶ ἀναβακχεύομαι φανταζομένη τὴν τοῦ* Ἄργου *τοῦ κυνὸς εἰκόνα*

567 *εἴδωλον*] *εἰκόνα* Ἄργου] λέγω *γηγενοῦς*] *τοῦ πανόπτου*

568 *ἡμέτερον* † *οὐ χρὴ γράφειν ἐνταῦθα ἄλευ ὦ δᾶ, ὡς ἔν τισι τῶν βιβλίων εὕρηται, ἀλλὰ* Ἀλευάδα, *οὐ μόνον ὅτι ἐν τοῖς παλαιοῖς τῶν ἀντιγράφων εὕρηται, ἀλλ᾽ ὅτι καὶ ἰαμβικόν ἐστιν ὅμοιον τῷ πρὸ αὐτοῦ*

Ἀλευάδα] *τοῦ υἱοῦ τοῦ* Ἀλεύα

569 Τὸν *μυριωπὸν*: *ἐπειδὴ ὑπὸ* Διὸς *ἐρασθεῖσα* Ἰὼ *εἰς βοῦν ὑπ᾽ αὐτοῦ μετεβλήθη ἵνα λάθῃ τὴν* Ἥραν, *γνοῦσα αὕτη φύλακα ταύτῃ ἐπέστησε κύνα* Ἄργον *καλούμενον, ὡς ἐν* Ἄργει *γεγονότα· ὃν* Ἑρμῆς *ἀνελὼν* Διὸς *κελεύσαντος* Ἀργειφόντης *κέκληται, ἀντ᾽ αὐτοῦ δὲ τὸν ταὼν τοῖς ἀνθρώποις ἔδειξε τοῖς ὀφθαλμοῖς τῶν πτερῶν ὅμοιον ἐκείνῳ τυγχάνοντα·* <Ἥρα *δὲ*> *ἐποίησε τὴν* Ἰὼ *καὶ ἀποθανόντα αὐτὸν δοκεῖν ὁρᾶν. βούταν δὲ αὐτὸν καλεῖ ὡς ταύτην τηροῦντα καὶ βόσκοντα μεταβληθεῖσαν εἰς βοῦν· τὸν αὐτὸν δὲ καὶ βουκόλον ἑξῆς* (v. 677) *λέγει· οὕτω γὰρ καλοῦσι τοὺς τῶν βοῶν ἐπιμελουμένους*

τὸν μυριωπὸν] *τὸν μυριόφθαλμον· τὸν διὰ παντὸς τοῦ σώματος ὀφθαλμοὺς ἔχοντα* *βούταν*] *βοσκόν*

570 *ὁ δὲ πορεύεται*] *εἰς φαντασίαν ἐμοὶ ἔρχεται* *δόλιον*] *κακόν· εἰς οἶστρον γάρ με φανεὶς ἐπαίρει*

571 *κατθανόντα*] *ἀποθανόντα* *κεύθει*] *κρύπτει, ἀλλ᾽ ὡς ζῶν μοι φαντάζεται*

572 *αὖ*] *πάλιν* *τὰν τάλαιναν*] *τὴν ἀθλίαν* *ἐνέρων*] *τῶν νεκρῶν* *περῶν*] *ἐρχόμενος*

573 Supra vers. *ἀνιχνεύει καὶ πανταχῇ φοιτώσῃ παρίσταται καὶ πλανᾶσθαι ποιεῖ νῆστιν ἤγουν ἐστερημένην σιτίων ἢ στάσεως.* *παραλίαν*] *παραθαλασσίαν*

574 *ὑπὸ*] *ὑποττοβεῖ, ὑπηχεῖ* *κηρόπλαστος*] *ὁ πεπλασμένος καὶ ἀληλιμμένος κηρῷ* *δόναξ*] *ἤγουν ἡ σύριγξ*

575 *ἀχέτας·*] *ὁ ἠχητικός, ὁ ἐμμελής* *ὑπνοδόταν*] *ὕπνον διδόντα* *νόμον*] *μέλος*

Ὑπνοδότην: *διὰ τοῦτο λέγει τοῦτο, ἐπειδὴ νὺξ ἦν ὅτε ἐκεῖσε κατέ*<*λαβ*>*εν. ἐν δὲ τούτῳ τῷ καιρῷ οἱ ποιμένες αὐλοῦσι παυσάμενοι τῆς νομῆς καὶ πρὸς*

μάνδραν εἰσαγαγόντες τὰ ποίμνια· ἢ ὅτι πᾶν μέλος ἐπαγωγόν ἐστι πρὸς ὕπνον σαῖνον <καὶ> κατακλῶν τοὺς ἀκούοντας. <ἔστ>ι δὲ καὶ τὸ νόμον πρὸς τὸ ὑποττοβεῖ

576 ἰὼ ἰώ] φεῦ ποῖ ποῖ] φεῦ ποποῖ] φεῦ ποποῖ] φεῦ

577 ἄγουσι] φέρουσι τηλέπλανοι] οἱ μακρὰν πλανῶντες

Εὕρηται οὐ μόνον πλάνη, ἀλλὰ καὶ πλάνος ἡ πλάνη ὥσπερ καὶ εὐθύνη καὶ εὔθυνος· καὶ μαρτυρεῖ Ἰσοκράτης λέγων τοὺς φυγαδικοὺς πλάνους (9.28)

578 ποτέ] ἄρα Κρόνιε παῖ] ἤγουν παῖ τοῦ Κρόνου Ζεῦ ποτε] ἄρα

579 ἐνέζευξας] ἐνέβαλες ἁμαρτοῦσαν] πταίσασαν πημοναῖς] βλάβαις ἤγουν τοῖς δεσμοῖς ἓ ἕ] τοῦτο διαμέσου

580 οἰστρηλάτῳ δὲ δείματι] δι' οἴστρου ἐλαύνοντι καὶ ἀναβακχεύοντι φοβήματι ὃ πάσχω Ἄργον φανταζομένη

581 παράκοπον] φρενοβλαβῆ, μανικὴν καὶ παρακεκομμένην τὸν νοῦν τείρεις] δαμάζεις

582 πυρὶ φλέξον] ἤγουν κεραύνωσον χθονὶ κάλυψον] τῇ γῇ· ἤγουν σχίσας τὴν γῆν κάλυψον ποντίοισι] θαλασσίοις δάκεσι] θηρίοις βοράν] τροφήν

583 μὴ δέ] μηδαμῶς φθονήσῃς: Φθονῶ σοὶ τοῦδε καὶ φθονῶ σοι τόδε

584 εὐγμάτων] τῶν εὐχῶν ἄναξ] ὦ Ζεῦ

585 ἅδδην] δαψιλῶς καὶ ἀρκούντως πολύπλανοι] ποταποί; | πολλαχῇ γῆς φέροντες

586 γεγυμνάκασιν] ἐδάμασαν ἐκ μεταφορᾶς τῶν γυμναζομένων ζώων ὅποι] ἐν ποίῳ καιρῷ

587 πημονὰς ἀλύξω] τὰς παρεστώσας μοι κακοδαιμονίας ἐκφεύξομαι

588 Ante vers. σύστημα

ἡμέτερον † κλύεις φθέγμα: σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ε', ὧν ὁ πρῶτος ἀντισπαστικὸς τρίμετρος ἀκατάληκτος, ἐξ ἀντισπάστου διτροχαίου καὶ ἐπιτρίτου τρίτου· οἱ δὲ λοιποὶ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ἐπὶ τῷ τέλει παράγραφος

κλύεις] ἀκούεις φθέγμα] τό. | τὸν λόγον βούκερω] τῆς βοὸς κέρατα ἐχούσης

589 κλύω] ἀκούω οἰστροδινήτου] τῆς ὑπὸ οἴστρου κινουμένης ὃν αὐτῇ ἐμβάλλει ἡ Ἥρα

590 Ἵνα δείξῃ ὅτι θεός ἐστι καὶ οἶδε πάντα, διὰ τοῦτο πατρόθεν αὐτὴν ὠνόμασεν ἐξ ἀρχῆς, καὶ πόθεν τοιαῦτα πάσχει προείρηκεν τῆς Ἰναχείας] τῆς θυγατρὸς τοῦ Ἰνάχου Διός] τοῦ θάλπει] ἐκκαίει κέαρ] τὴν ψυχήν

591 *ἔρωτι*] *τῷ αὐτῆς* *ὑπερμήκεις δρόμους*] *τοὺς μακρούς· ἤγουν τὴν μακρὰν πλάνην*

592 *Ἥρᾳ*] *τῇ* *στυγητὸς*] *μεμισημένη καὶ ζηλοτυπουμένη*

Ἰδίωμα Ἀττικόν ἐστι τοῦτο· εἰώθασι γὰρ ἐκεῖνοι τὰ εἰς η̄ λήγοντα θηλυκὰ διὰ τοῦ ο̄ς̄ ἐκφέρειν, ὡς τὰ ἀρσενικά· οἷον στυγητὸς Ἥρα καὶ κλυτὸς Ἱπποδάμεια (B 742)

πρὸς βίαν] *βιαίως* *γυμνάζεται*] *δαμάζεται ἐκ μεταφορᾶς τῶν ζώων*

593 Ante vers. *στροφὴ ἑτέρα κώλων ιη'*

ἡμέτερον † πόθεν ἐμοῦ σύ: καὶ ἡ παροῦσα στροφὴ μονοστροφική ἐστιν ὡς καὶ ἡ προειρημένη· ἔστι δὲ κώλων ιη'.[1] *τὸ α' παιωνικὸν τρίμετρον ἀκατάληκτον, ἐκ παιώνων τετάρτων· κατὰ μονοπεδίαν γὰρ μετρεῖται τὰ τοιαῦτα μέτρα διὰ τὸ τετρασυλλάβους εἶναι τοὺς πόδας, ὡς ἐν ἄλλοις εἴρηται. τὸ β^{τερόν} ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου β^{τέρου} παίωνος τρίτου ἀντὶ ἰωνικοῦ καὶ συλλαβῆς. τὸ γ' παιωνικὸν καθαρὸν ἡμιόλιον, ἐκ παίωνος δ^{ου} καὶ ἰάμβου. τὸ δ' ἰωνικὸν ἡμιόλιον, ἐκ τροχαϊκῆς συζυγίας ἤτοι ἐπιτρίτου β^{τέρου} καὶ ἰάμβου. τὸ ε' ὅμοιον καθαρόν, ἐξ ἰωνικοῦ ἀπ' ἐλάττονος καὶ ἰάμβου. τὸ ς' ὅμοιον τῷ πρώτῳ παιωνικόν. τὸ ζ' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον Γλυκώνειον, ἐξ ἀντισπάστου καὶ διϊάμβου διὰ τὴν ἀδιάφορον. τὸ η' ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ διτροχαίου καὶ παίωνος β^{τέρου} ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος. τὸ θ' ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, ἐξ ἐπιτρίτου τρίτου ἀντισπάστου καὶ κρητικοῦ ἤτοι ἀμφιμάκρου, ὃ καλεῖται Φαλαίκειον. τὸ ι' παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος πρώτου καὶ τροχαίου. τὸ ια' ὅμοιον τρίμετρον βραχυκατάληκτον, ἐκ παιώνων β', δ^{ου} καὶ πρώτου, καὶ τροχαίου. τὸ ιβ' ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον καταληκτικόν, ἐξ ἐπιτρίτου τρίτου καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον. τὸ ιγ' χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ χοριάμβου διϊάμβου καὶ συλλαβῆς. τὸ ιδ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ιε' ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ἀκατάληκτον, ἐκ παίωνος δ^{ου} ἀντὶ ἰωνικοῦ καὶ διϊάμβου· εἰ δὲ βούλει, τροχαϊκὸν ἐφθημιμερὲς Εὐριπίδειον, τοῦ πρώτου ποδὸς χορείου. τὸ ις' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἀντισπάστου διτροχαίου καὶ συλλαβῆς. τὸ ιζ' χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ διτροχαίου χοριάμβου καὶ τροχαίου. τὸ ιη' περίοδος ἐξ ἰαμβικῆς συζυγίας καὶ τροχαϊκοῦ καταληκτικοῦ. ἐπὶ τῷ τέλει κορωνίς*

[1] 593–608: colon 1 = 593, 2 *εἰπέ . . . ὦν*, 3 *τίς . . . τάλας*, 4 *τὰν . . . ὦ* — 5 *δ' . . . προσθροεῖς*, 6 *θεόσυτόν . . . ἆ*, 7 *μαραίνει . . . κέν* — 8 *τροισι φοιταλέοις ἕ ἕ*, 9 *σκιρτημάτων δὲ νήστῃσιν αἰκίαις*, 10 *λαβρόσυτος ἦλθον*, 11 *ἐπικότοις . . . δαμεῖσα*, 12 *δυσδαιμόνων δὲ τινές*, 13 *οἳ ἓ ἓ οἷα ἐγὼ μογοῦσιν*, 14 *ἀλλά . . . τέκμηρον*, 15 *ὅ τι . . . παθεῖν*, 16 *τί μοι χρὴ τί φάρμακον νόσου*, 17 *δεῖξον . . . φράζε*, 18 *τᾷ . . . παρθένῳ*.

πόθεν] ἐκ ποίας αἰτίας, πῶς οἶδας ἀπύεις] φωνεῖς, λέγεις

594 τᾷ μογερᾷ] τῇ ἀθλίᾳ

595 τάλας] ἄθλιε ταλαίπωρον] τὴν ἀθλίαν ὧδ'] οὕτως

596 ἔτυμα] ἀληθῆ προσθροεῖς] προσφθέγγῃ, προσαγορεύεις

597 θεόσυτόν τε νόσον] τὴν θεόθεν ἤγουν ὑπὸ τῆς Ἥρας ὡρμημένην μανίαν ὠνόμασας] εἶπες ἃ] ἥτις

598 μαραίνει] τήκει καὶ καταβάλλει χρίουσα] κεντοῦσα

599 φοιταλέοις] ὁρμητικοῖς, μανικοῖς ἒ ἔ] τοῦτο διαμέσου

600 ἡμέτερα † σκιρτήματα λέγεται τὰ τῶν ἀρνῶν καὶ προβάτων καὶ βοῶν κινήματα καὶ πηδήματα· εἴωθε δὲ ταῦτα σκιρτᾶν ἐν ταῖς ὁδοῖς καὶ οὕτω τὴν πορείαν ἀνύειν· καὶ Ἰὼ τοίνυν εἰκότως τὰ αὐτῆς κινήματα σκιρτήματα εἴρηκεν, οὐ μόνον ὡς βοῦς κινουμένη, ἀλλὰ καὶ ὑπὸ τῆς μανίας σκιρτῶσα

σκιρτημάτων] κινημάτων νήστῃσιν] ἐστερημέναις τροφῆς καὶ στάσεως αἰκίαις] μάστιξιν

601 λαβρόσυτος] λίαν ὁρμωμένη

602 ἐπικότοις μήδεσι] ὀργίλαις βουλαῖς τῆς Ἥρας δαμεῖσα] δαμασθεῖσα

603 δυσδαιμόνων] εἰσὶν. | ἤτοι δυσδαίμονες οἳ] οἵτινες ἒ ἔ] διαμέσου οἷ'] οἷα μογοῦσιν] πάσχουσιν

605 τορῶς] ἀληθῶς, σαφῶς τέκμηρον] διασάφησον, σήμηνον ἐπαμμένει] ἀπόκειται

606 χρὴ] ἀπόκειται φάρμακον νόσου] θεραπεία καὶ ἀπαλλαγὴ τῆς τῆς μορφῆς ἀλλοιώσεως καὶ μανίας

607 οἶσθα] οἶδας

608 θρόει] λέγε φράζε] ἐκ παραλλήλου τᾷ δυσπλάνῳ] τῇ κακῶς καὶ μανικῶς πλανωμένῃ

609 † λέξω τορῶς σοι: αἱ ἑξῆς αὗται συστηματικαὶ καὶ ἀμοιβαῖαι περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων οη', ὧν τελευταῖος "αἴσχιστον εἶναί φημι συνθέτους λόγους." ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς τορῶς] σαφῶς

610 οὐκ ἐμπλέκων αἰνίγματ'] ἤγουν οὐκ αἰνιγματωδῶς καὶ ἀσαφῶς φράζων ἁπλῷ] σαφεῖ

611 Supra vers. ἤγουν ὥσπερ ἐστὶ δίκαιον λέγειν φίλον πρὸς φίλον
οἴγειν] ἀνοίγειν

612 βροτοῖς] τοῖς ἀνθρώποις Προμηθέα] ἤγουν ἐμέ

613 ὦ κοινὸν ὠφέλημα] † ἤγουν ὦ Προμηθεῦ ὁ κοινῶς πάντας ὠφελήσας ἀνθρώπους θνητοῖσιν] ἀνθρώποις

614 *τλῆμον*] *ἄθλιε διὰ τὰ παρόντα* *τοῦ*] *τίνος πράγματος ἢ πταίσματος* *δίκην*] *τιμωρίαν*

Τίνος πταίσματος ἢ πράγματος τιμωρίαν πάσχεις τάδε· τουτέστι τί ἁμαρτὼν πάσχεις ταῦτα τὰ δυστυχήματα κόλασιν τοῦ πταίσματος· τὸ γὰρ οὕτως ἀθλίως προσηλῶσθαί σε, κόλασίς ἐστιν, ὡς ἔοικε, τινὸς ἁμαρτίας· τίς οὖν ἐστιν αὕτη

615 *ἁρμοῖ*] *νεωστί* *θρηνῶν πόνους*] † *ἤγουν μετὰ θρήνου διηγούμενος πρὸς τὸν χορόν*

616 *οὔκουν*] *οὐδαμῶς* *πόροις*] *παράσχοις*

617 *αἰτῇ*] *ζητεῖς* *πάντα γὰρ πύθοιό μοι*] † *πάντα γὰρ ἂν μάθοις τὰ ἐν ἐμοί*

ἡμέτερα † *τινὲς τὴν δύναμιν ἀγνοοῦντες τοῦ* $\overline{\mu o\iota}$, *πᾶν γὰρ ἐκπύθοιό μου γράφουσιν· ἀλλ' οὐκ οἶμαι καλῶς. εὕρηται γὰρ ἔν τισι τῶν ἄγαν παλαιῶν ἀντιγράφων πάντα γὰρ πύθοιό μοι, ὃ καὶ ἄριστον εἶναί μοι δοκεῖ καὶ οὕτω συντάττειν· πάντα γὰρ ἂν πύθοιο καὶ μάθοις τὰ ἐν ἐμοί. τοιαύτη τίς ἐστιν ἡ τοῦ* $\overline{\mu o\iota}$ *δύναμις*

618 *σήμηνον*] *εἰπέ* *ἐν φάραγγι*] *ἐν τῷ κρημνώδει τούτῳ τόπῳ* *ὄχμασεν*] *προσεπαττάλευσεν, ἔδησεν*

619 *βούλευμα*] *ἡ βουλὴ τοῦ Διός* *τὸ Δῖον*] *ἤγουν τοῦ Διός* *Ἡφαίστου*] *οὗτος γὰρ αὐτῷ ὑπηρέτησεν*

620 *ποινὰς*] *δίκας, τιμωρίας* *ποίων ἀμπλακημάτων*] *ἤγουν τί ἁμαρτὼν ὧδε κολάζῃ* *τίνεις*] *δίδως*

621 *τοσοῦτον*] *ὅσον εἴρηκα* *ἀρκῶ σοι*] † *δέον εἰπεῖν ἀρκετόν ἐστιν ὅσον εἴρηκα δηλῶσαί σοι, τὰ κατ' ἐμέ, ὁ δὲ ἀρκῶ εἶπεν*

622 *πρός*] *σὺν τούτοις* *τέρμα*] *τέλος*

623 *τίς — χρόνος*] † *ἤγουν ἐν ποίῳ χρόνῳ τοῦ πλανᾶσθαι πεπαύσομαι*

624 *κρεῖσσον*] *ἀκούσασα γὰρ τὰ μέγιστα λυπηθήσῃ* *τάδε*] *ἤγουν τὸ τέλος τῆς πλάνης σου*

† *ὅτι ἐντεῦθεν εἴληπταί τινι τῶν σοφῶν*[1] *τοδὶ τὸ ῥητόν· εἰ μὲν ἦν μαθεῖν ἃ δεῖ παθεῖν καὶ μὴ παθεῖν, καλὸν τὸ μαθεῖν· εἰ δὲ παθεῖν δεῖ ἃ δεῖ μαθεῖν, τί δεῖ μαθεῖν; παθεῖν γὰρ χρή*

625 *μή τοι*] *μηδαμῶς*

626 *μεγαίρω*] *φθονῶ σοι* *τοῦδε*] *τοῦ εἰπεῖν σοι τοῦτο*

627 *τί δῆτα μέλλεις*] *τί λοιπὸν βραδύνεις καὶ ἀναβάλλῃ ἐπεὶ οὐ φθονεῖς, ὡς λέγεις* *μὴ οὐ*] *συνίζησις* *γεγωνίσκειν*] *λέγειν*

[1] Epicurus, *De divinatione* (Usener 261.16)

628 *φθόνος οὐδείς*] *τοῦτο λέγειν* *ὀκνῶ*] *ἀναβάλλομαι* *θράξαι*] *ταράξαι* *φρένας*] *τὸν νοῦν*

Ἀπὸ τοῦ ταράξω γίνεται τὸ θράξω κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ τ εἰς θ διὰ τὸ κακόφημον

629 *προκήδου*] *φρόντιζε* *μᾶσσον*] *μᾶλλον, μεῖζον ἢ δεῖ* *ὡς*] *ὅτι* *γλυκύ*] *ἐστὶ τοῦτο μαθεῖν*

630 *χρή*] *πρέπει*

631 *μήπω*] *μηδαμῶς λέγε* *μοῖραν*] *μερίδα* *ἡδονῆς*] *εὐφροσύνης* *πόρε*] *πάρασχε, δός*

632 *ἱστορήσωμεν*] *μάθωμεν, ἀκούσωμεν* *νόσον*] † *τὴν μανίαν ἢ τὴν μεταβολὴν τῆς μορφῆς*

633 *τὰς πολυφθόρους τύχας*] *τὰς πολλῆς φθορᾶς καὶ δυστυχίας προξένους* *τύχας*] *τὰς δυστυχίας*

634 *ἄθλων*] *τῶν αὐτῆς πόνων* *σοῦ*] *παρὰ σοῦ*

635 *Ἰοῖ*] *ὦ* *ὑπουργῆσαι*] *ὑπηρετῆσαι, δοῦναι* *χάριν*] *ἣν αἰτοῦσιν*

636 *Ἄλλως τε πάντως: ἤγουν οὐ μόνον ὅτι δεῖ πείθεσθαι τοῖς κελεύουσι λέγειν ἃ μὴ βάρος προσφέρει, ἀλλὰ καὶ κατ' ἄλλον πάντως τρόπον δεῖ δοῦναι ταῖσδε χάριν ἀδελφαῖς οὔσαις τοῦ σοῦ πατρός. τοῦτο δὲ λέγει ἐπεὶ αὗται μὲν Νηρηΐδες ἦσαν, ὁ δὲ πατὴρ αὐτῆς Ἴναχος ποταμὸς Ἄργους, ὃν Ὠκεανοῦ καὶ Τηθύος υἱὸν λέγουσιν εἶναι* *ἄλλως*] *κατὰ ἄλλον τρόπον* *πάντως*] *ἀληθῶς* *κασιγνήταις*] *ἀδελφαῖς* *πατρὸς*] *ὑμῶν.* | *τοῦ Ὠκεανοῦ*

637 *ἀποκλαῦσαι*] *συλλυπηθῆναι* *ἀποδύρασθαι*] *θρηνῆσαι* *τύχας*] *τὰς σάς*

638 Ante vers. *γνωμικόν*

Ἐνταῦθ' ὅποι: ἤγουν εἰς ὃ πρᾶγμα τοὺς συναλγήσοντας ἕξει τις, εἰ διατρίψει διηγούμενος τοῦτο, οὐκ εἰς κενὸν αὐτῷ ἡ διατριβὴ ἔσται

ἐνταῦθ'] *ἤγουν εἰς τοῦτο τὸ πρᾶγμα* *οἴσεσθαι*] *κομίσεσθαι, λήψεσθαι*

639 *πρὸς τῶν κλυόντων*] *παρὰ τῶν ἀκουόντων* *τριβήν*] *διατριβήν, ἀργίαν*

640 *ὅπως*] *πῶς* *χρή*] *πρέπει*

641 *σαφεῖ*] *ἀληθεῖ* *μύθῳ*] *λόγῳ* *προσχρῄζετε*] *χρῄζετε*

642 *πεύσεσθε*] *μαθήθεσθε* *καὶ λέγουσ'*] *οὐ μόνον πάσχουσα δηλονότι ἀλλὰ καὶ λέγουσα*

643 *θεόσσυτον*] *τὸν θεόρμητον· ἤγουν τὴν ἐκ τῆς Ἥρας ὁρμηθεῖσάν μοι δυστυχίαν* *χειμῶνα*] *τόν* *διαφθορὰν*] *τήν.* | *τὴν μεταβολήν*

644 *ὅθεν*] *ἀφ' ἧς αἰτίας* *σχετλίᾳ*] *τῇ ἀθλίᾳ* *προσέπτατο*] *προσῆλθε*

645 Ante vers. *διήγησις* *ὄψεις*] *φαντασίαι, ὄνειροι* *ἔννυχοι*] *νυκτεριναί* *πολεύμεναι*] *ἐπερχόμεναι, περιπολούμεναι*

646 *ἐς παρθενῶνας τοὺς ἐμοὺς*] † *ἤγουν εἰς τοὺς θαλάμους ἐν οἷς ὡς παρθένος διῆγον* *παρηγόρουν*] *παρέπειθον, ἠπάτων με*

647 *λείοισι*] *μαλακοῖς, θελκτικοῖς, κολακευτικοῖς* *μύθοις*] *λόγοις* *ὦ*] *λέγουσαι δηλονότι* *μέγ'*] *μεγάλως* *εὔδαιμον*] *μακαρία*

648 *παρθενεύεις*] *ἤγουν παρθένος μένεις* *δαρόν*] *ἐπιπολύ* *ἐξόν*] *δυνατοῦ ὄντος σοι*

649 *ἱμέρου*] *ἐπιθυμίας τῆς σῆς* *βέλει*] *ἐν.* | *κέντρῳ*

650 *πρὸς*] *παρὰ* *τέθαλπται*] *ἐκκέκαυται, τέτρωται* *συναίρεσθαι*] *συνάψειν* Κύπριν] *ἤγουν συνάφειαν*

Συναίρομαί *σοι τοῦδε, καὶ συναίρομαί σοι τόδε, ὡς καὶ ἐνταῦθα*

'Επειδήπερ *τὸν ἔρωτα καὶ βέλη καὶ πῦρ φέρειν φασί, διὰ τοῦτο οὐκ εἶπε τέτρωται πρὸς τὸ βέλει, ἀλλὰ τέθαλπται, παριστῶν ἐντεῦθεν τὸ πῦρ τοῦ θεοῦ*

651 *'πολακτίσῃς*] *ἀπορρίψῃς, ἀτιμάσῃς* λέχος] *τὴν κοίτην*

652 Ζηνός] *τοῦ* Διός Λέρνης] Λέρνη *πηγὴ* Ἄργους *βαθὺν*] *ποιώδη*

653 λειμῶνα] *ἄλσος* *βουστάσεις*] *τὰς τῶν βοῶν μάνδρας* *πατρός*] *τοῦ σοῦ*

654 *τὸ* Δῖον] *τὸ τοῦ* Διός λωφήσῃ] *παύσῃ*

655 *τοιοῖσδε*] *τοιούτοις* *εὐφρόνας*] *νύκτας* *ὀνείρασιν*] *φαντάσμασι*

656 *ξυνειχόμην*] *ἐκρατούμην ἤγουν συνῆν* *δύστηνος*] *ἡ.* | *ἡ ἀθλία* *ἔστε*] *ἕως οὗ* *πατρὶ*] *τῷ ἐμῷ*

657 *ἔτλην*] *ἐτόλμησα* *γεγωνεῖν*] *εἰπεῖν* *νυκτίφοιτ'*] *τὰ ἐν τῇ νυκτὶ φοιτῶντα καὶ ἐπερχόμενά μοι*

658 *ἔς τε* Πυθὼ] *εἰς τὸ ἐν* Δελφοῖς *μαντεῖον τοῦ* Ἀπόλλωνος Δωδώνης] *ἦν γὰρ ἐκεῖ δρῦς μαντευομένη*

Πόλις Αἰτωλίας *ἡ* Δωδώνη, *ἔνθα* Διὸς *ἱερὸν ἦν ἔχον δρῦν* λαλοῦσαν *καὶ μαντευομένην*

659 Θεοπρόπος *οὐ μόνον ὁ μάντις ὁ τὰ τῶν θεῶν προπέμπων καὶ προφέρων καὶ λέγων, ἀλλὰ καὶ ὁ πεμπόμενος δέχεσθαι παρὰ τῶν θεῶν χρησμούς·* [*ὃν καὶ θεωρὸν καλοῦσιν* *θεοπρόπους*] *θεωρούς* *ἴαλλεν*] *ἔπεμπε* *ὡς*] *ἵνα*

660 *δρῶντ'*] *πράττοντα* *δαίμοσι*] *τοῖς θεοῖς* *φίλα*] *προσφιλῆ*

661 ἧκον] ἤρχοντο ἀναγγέλλοντες] μηνύοντες, λέγοντες αἰολοστόμους] ποικίλους

662 χρησμοὺς] μαντείας ἀσήμους] ἀσαφεῖς, ἀγνώστους

Τὸ ἀσήμους καὶ τὸ δυσκρίτως εἰρημένους ἑρμηνεία ἐστὶ πρὸς τὸ αἰολοστόμους δυσκρίτως] δυσδιακρίτως

663 ἐναργὴς] φανερά βάξις] ῥῆσις, φήμη ἦλθεν] ἐκ τοῦ μαντείου Ἰνάχῳ] τῷ

664 σαφῶς] φανερῶς ἐπισκήπτουσα] παραινοῦσα, προστάττουσα μυθουμένη] λέγουσα

665 δόμων] τῶν οἴκων αὐτοῦ πάτρας] τῆς πατρίδος ὠθεῖν] ἐκπέμπειν

666 ἄφετον] ἀπολελυμένην, ἐλεύθερον ἀλᾶσθαι] πλανᾶσθαι, περιφέρεσθαι

667 πυρωπὸν] πυρώδη, καυστικόν μολεῖν] ἐλθεῖν

668 ὃς] ὁ κεραυνός ἐξαϊστώσει] ἀφανίσει γένος] αὐτοῦ

669 τοιοῖσδε] τοιούτοις πεισθεὶς] καταπεισθείς Λοξίου] τοῦ Ἀπόλλωνος

670 ἐξήλασεν] ἐξέβαλεν δωμάτων] τῶν οἴκων

671 ἄκων] † ἤγουν οὐχ ἑκών με ἐξέβαλεν ἀλλ' ὑπὸ τῆς τοῦ Διὸς ἀνάγκης νιν] αὐτόν

672 χαλινὸς] ἡ ἐξουσία πρὸς βίαν] ἤγουν βιαίως πράσσειν] ποιεῖν

673 μορφὴ] ἡ φρένες] αἱ. | ἐμοῦ διάστροφοι] διεστραμμέναι, παρηλλαγμέναι

674 κεράστις] κερασφόρος ὁρᾶτ'] βλέπετε ὀξυστόμῳ] ὀξυτάτῳ

675 Ἐπειδὴ βοῦς ἡ Ἰὼ γέγονεν, εἰκότως τὸ μύωπι καὶ χρισθεῖσα, ὅπερ ἐστὶ κεντηθεῖσα, Αἰσχύλος τέθεικε· κέντροις γὰρ οἱ βόες πρὸς τὸ ὁδοιπορεῖν καὶ ἐργάζεσθαι νύττονται

μύωπι] κέντρῳ τῷ τῆς μανίας χρισθεῖσ'] κεντηθεῖσα, τρωθεῖσα ἐμμανεῖ] μανικῷ σκιρτήματι] κινήματι

676 ἧσσον] ὥρμων εὔποτον] ἡδύ, πότιμον Κερχνείας] Κερχνεία πηγὴ Ἄργους

677 ἄκρην] † διὰ τὸ ἐν ὑψηλῷ τινι τόπῳ κεῖσθαι τὴν Λέρνην, ἄκρην εἶπεν

678 ἄκρατος] † μὴ κεκραμένος ἀλλὰ λίαν ὀργίλος Ἄργος] οὕτως ὁ κύων ὠνομάζετο ὡμάρτει] ἠκολούθει μοι πυκνοῖς] πολλοῖς, συνεχέσιν

679 *ὅσσοις*] *ὀφθαλμοῖς, οὓς διὰ παντὸς εἶχε τοῦ σώματος* *καταστίβους*] *τὰς ὁδούς*

680 *ἀπροσδόκητος μόρος*] *ἀνέλπιστος μόρος, ὃν αὐτῷ Ἑρμῆς ἐπήγαγε λίθῳ βαλὼν κελευσθεὶς ὑπὸ Διός*

681 *οἰστροπλὴξ*] *ὑπὸ οἴστρου πληγεῖσα*

682 *θείᾳ*] *τῇ τῆς Ἥρας* *γῆν*] *εἰς* *πρὸ γῆς*] † *πρὸ ἄλλης γῆς ἢ ἀπὸ γῆς εἰς γῆν*

ἡμέτερον † *οὐ χρὴ γράφειν ἐνταῦθα γῆς πρὸς γῆν ἐλαύνομαι, ὡς ἐν πολλοῖς τῶν βιβλίων εὕρηται, ἀλλὰ γῆν πρὸ γῆς. οὐ μόνον γὰρ ἔν τινι τῶν παλαιῶν ἀντιγράφων οὕτως εὕρηται, ἀλλὰ καὶ πρὸς τὸ μέτρον οὕτω μᾶλλον ἔχει ὀρθῶς. οὕτω δὲ λέγε· ἐλαύνομαι εἰς γῆν πρὸ γῆς· ἤγουν πρὸ τοῦ ἐλθεῖν εἰς τήνδε τὴν γῆν εἰς ἄλλην ὑπὸ τοῦ οἴστρου ἐλαύνομαι. ἐμοὶ δὲ καὶ ἀντὶ τοῦ ἀπο ἡ προ δοκεῖ κεῖσθαι, οἷον ἀπὸ γῆς εἰς γῆν· καὶ οἶμαι ὡς εὑρεθείη ἂν καὶ ἄλλοθί που τὸ τοιοῦτον. εἰ δέ τις τὸ " τὰς δεσποσύνους σκηνὰς προλιποῦσαι" παρ' Εὐριπίδῃ* (Hec. 99) *ἀντὶ τοῦ ἀπολιποῦσαι νοήσει, εὑρήσειεν ὡς ἔστιν ὅτε καὶ ἡ προ ἀντὶ τῆς ἀπο τίθεται. καὶ τὸ " προλείπω· λύεται δέ μου μέλη " παρ' αὐτῷ* (Hec. 438) *τῆς αὐτῆς ἔχεται διανοίας. προλείπω γάρ φησιν ἀντὶ τοῦ ἀπολιμπάνω ἐμαυτὴν ἐξ ἀθυμίας· καὶ παραλύεταί μου τὰ μέλη* *ἐλαύνομαι*] *διώκομαι*

683 *κλύεις*] † *ἤγουν ἤκουσας* *πραχθέντ'*] *ἃ ἐπράχθη ἐν ἐμοὶ ὑπὸ Διὸς καὶ Ἥρας* *ἔτι*] *εἰς τὸ ἑξῆς*

684 *σήμαινε*] *λέγε, δήλου ἐμοί* *οἰκτίσας*] *κατελεήσας*

685 *ξύνθαλπε*] *ἀπάτα, κολάκευε* *μύθοις*] *λόγοις* Post vers. *γνωμικόν*

686 *αἴσχιστον*] *αἰσχρόν, μισητόν* *συνθέτους*] *ψευδεῖς καὶ μὴ ὄντας ἀλλὰ πεπλασμένους*

687 Ante vers. *στροφὴ κώλων ι*

ἡμέτερον † *ἔα ἔα: τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται, ὡς εἴρη<ται>, μονοστροφικά. ἔστι δὴ τῆς παρούσης στροφῆς τὰ κῶλα ι'.*[1] *τὸ α' ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ἀκατάληκτον, ἐκ διϊάμβου καὶ παίωνος δ^ου ἀντὶ ἰωνικοῦ· εἰ δὲ βούλει, ἰαμβικὸν ἑφθημιμερές, τοῦ τρίτου ποδὸς χορείου. τὸ β^τερον τροχαϊκὸν ἰθυφαλ[λ]ικόν. τὸ γ' περίοδος καταληκτική, ἐξ ἰαμβικῆς συζυγίας καὶ τροχαϊκῆς καταληκτικῆς. τὸ δ' χοριαμβικὸν καθαρὸν ἡμιόλιον. τὸ ε' ἰαμβικὸν καθαρὸν ἑφθημιμερές. τὸ s' ὅμοιον δίμετρον βραχυκατάληκτον. τὸ ζ' χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ χοριάμβου καὶ ἐπιτρίτου*

[1] 687–695: colon 1 = 687, 2 *οὔποτ' οὔποτ' ηὔχουν*, 3 *ξένους μολεῖσθαι λόγους*, 4 *εἰς ἀκοὰν ἐμάν*, 5 *οὐδ' ὧδε δυσθέατα*, 6 *δύσοιστα πήματα*, 7 *λύματα δείματ' ἀμφήκει*, 8 *κέντρῳ ψύχειν ψυχὰν ἐμάν*, 9 = 694, 10 = 695.

πρώτου. τὸ η′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον καθαρόν. τὸ θ′ περίοδος τελεία, ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς συζυγίας. τὸ ι′ τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον. ἐπὶ τῷ τέλει κορωνίς

ἄπεχε] ἀφίστασο καὶ μὴ λέγε ἡμῖν τοιαῦτα φρικώδη

688 ηὔχουν] ἐθάρρουν ξένους] παραδόξους, ἀτόπους

689 μολεῖσθαι] μολεῖν, ἐλθεῖν

690 ὧδε] οὕτως δυσθέατα] κακὰ εἰς τὸ θεαθῆναι δύσοιστα] δυσυπομόνητα, δύσκολα εἰς τὸ παραδέξασθαι

Ὅτι τὸ μὲν δυσθέατα εἴρηκε διὰ τὴν τῆς μορφῆς ἀλλοίωσιν· τὸ δὲ δύσοιστα, διὰ τὰ παρὰ τῆς Ἥρας αὐτῇ γεγονότα

691 πήματα] ἤγουν τιμωρίας, βλάβας λύματα] ἤγουν λύμας, βλάβας δείματ'] φοβήματα

692 ἀμφήκει] διστόμῳ ψύχειν] ψυχραίνειν, νεκροῦν, πλήττειν

694 ἰὼ] ὦ ἰὼ] ὦ

695 πέφρικ'] φοβοῦμαι καὶ καταπλήττομαι πρᾶξιν] τὴν δυστυχίαν, τὸ πάθος

ἡμέτερα † πρᾶξις οὐ μόνον ἡ ἐνέργεια ἀλλὰ καὶ τὸ πάθος, ὡς ἐνταῦθα· φησὶ γὰρ πρᾶξιν Ἰοῦς, ἤγουν τὸ πάθος τὸ γεγονὸς αὐτῇ. πράττω γὰρ οὐ μόνον τὸ ἐνεργῶ ἀλλὰ καὶ τὸ ἀπαιτῶ καὶ ἔτι τὸ πάσχω. ὅθεν καὶ κακῶς πράττειν τὸν δεῖνά φαμεν ἀντὶ τοῦ πάσχειν· καὶ δυσπραγεῖ τις ἀντὶ τοῦ κακῶς πράττει ἤγουν πάσχει

696 † πρό γε στενάζεις: αἱ ἑξῆς αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρπ′, ὧν τελευταῖος "εἰπεῖν, σύ τ' οὐδὲν ἐκμαθοῦσα κερδανεῖς" (876). μετὰ δὲ τὸν μς′ (741), κῶλον ἰωνικὸν ἡμιόλιον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς

πρό] ἤγουν πρὸ τοῦ τὰ πάντα ἀκοῦσαι πλέα] πεπληρωμένη

697 ἐπίσχες] καρτέρησον προσμάθοις] σὺν τοῖς προλαβοῦσι

698 ἐκδίδασκε] ἤγουν τελείως δίδασκε

699 ἄλγος] ὃ μέλλουσι παθεῖν προυξεπίστασθαι] προγινώσκειν τορῶς] ἀληθῶς, ἀκριβῶς

700 τὴν πρίν] τὴν προτέραν χρείαν] ἣν ἐχρῄζετε ἠνύσασθ'] ἐπληρώσατε ἤγουν ἠκούσατε ἐμοῦ πάρα] ἐκίνησα γὰρ αὐτὴν διηγήσα<σθαι>

701 κούφως] <ἐλαφρῶς>, εὐκόλως

702 τὸν ἀμφ' ἑαυτῆς] † τὸν περὶ αὐτῆς ἆθλον] † τὸν μόχθον, ὃν ὡς ἀθλητής τις ὑφίσταται.

703 χρὴ]ἀπόκειται

704 *τλῆναι*] *ὑπομεῖναι*   *πρὸς*] *παρὰ τῆς*   *νεανίδα*] *ἤτοι τὴν Ἰώ*

705 *σύ τ'*] *<ἀπο>στροφὴ τὸ σχῆμα*   *Ἰνάχειον σπέρμα*] † *ἤτοι τοῦ Ἰνάχου θύγατερ*

706 *θυμῷ*] † *ἐν τῇ σῇ ψυχῇ*   *τέρματ'*] *τὰ τέλη τῆς ὁδοιπορίας καὶ τῆς πλάνης*

707 *ἐνθένδ'*] † *ἀπὸ τοῦ Καυκάσου*   *ἀντολὰς*] † *ἀνατολάς*

708 *στεῖχ'*] *πορεύου*   *ἀνηρότους γυίας*] *ἤγουν τὰ ὄρη ἃ οὐ δυνατόν ἐστιν ἀροῦσθαι διὰ τὸ πετρῶδες*

709 *ἀφίξῃ*] *ἔλθῃς*   *νομάδας*] *τὰ γὰρ παρατυχόντα ἐσθίουσι δίκην τῶν νεμομένων κτηνῶν*

† *νομάδας φησὶ τοὺς Σκύθας ὅτι τοιοῦτον ζῶσι καὶ οὗτοι βίον οἷον οἱ νομεῖς τῶν ζώων, νῦν μὲν ἐνθάδε, νῦν δ' ἐκεῖσε μεταναστεύοντες. ἐπ' ἀμαξῶν γὰρ ἔχοντες πλεκτὰς στέγας ἐν θέρει μὲν πρὸς τὸ βόρειον ἐν δὲ χειμῶνι πρὸς τὸ νότιον μεταβαίνουσι μέρος*

710 *πεδάρσιοι*] *μετέωροι τῆς γῆς*   *ναίουσ'*] *οἰκοῦσιν*   *εὐκύκλοις*] *εὐτρόχοις*   *ὄχοις*] *ἅρμασιν*

711 *ἑκηβόλοις*] *μακρὰν βάλλουσι*   *ἐξηρτημένοι*] *ἐκκρεμεῖς ὄντες ἤγουν ὡπλισμένοι*

Ἐξηρτημένοι· ἤγουν τόξα μεταχειριζόμενοι καὶ οἷον ἐν ἐκείνοις κρεμώμενοι καὶ τοὺς πολέμους διὰ τούτων ποιοῦντες

712 *οἷς*] *<τοῖς Σκ>ύθαις*   *μὴ*] *θέλε*   *πελάζειν*] † *πλησιάζειν*   *ἁλιστόνοις*] *ὑπὸ τῆς θαλάττης τυπτομέναις*

Ἁλιστόνοις ταῖς ὑπὸ τῆς ἁλὸς ἤτοι τῆς θαλάσσης τυπτομέναις καὶ ἠχούσαις καὶ οἷόν τινα στεναγμὸν ἀποτελούσαις ὡς παραθαλασσίαις

713 *χρίμπτουσα*] *πλησιάζουσα*   *ῥαχίαισιν*] *κρημνώδεσι καὶ ὀρινοῖς τόποις*   *ἐκπερᾶν*] *διέρχεσθαι θέλε*   *χθόνα*] *τὴν γῆν*

714 *λαιᾶς δὲ χειρὸς*] *ἤγουν ἐπὶ τοῖς ἀριστεροῖς μέρεσι*   *σιδηροτέκτονες*] *οἱ τὸν σίδηρον κατασκευάζοντες*

715 *φυλάξασθαι*] *ἤγουν ἐκφυγεῖν*

716 *ἀνήμεροι*] *ἄγριοι*   *πρόσπλαστοι*] *πλησιαζόμενοι ἀλλ' ἀπλησίαστοι*

717 *ἥξεις*] *ἔλθῃς*   *ὑβριστὴν ποταμὸν*] *εἰς.* | † *τὸν ἀτιμάζοντα τὰ πλησιάζοντα αὐτῷ, ἤγουν τὸν Ἄραξιν*

Ὑβριστὴν ὀνομάζει τὸν Ἄραξιν διὰ τὸ ἐξάγεσθαι τῶν ὅρων καὶ κατακλύζειν ἀτάκτῳ φορᾷ καὶ διαφθείρειν τὰ προστυχόντα, καὶ ἀραγμούς τινας καὶ πλήξεις ἐν ταῖς ὄχθαις ἐργάζεσθαι. ὅθεν καὶ τὴν ἐπωνυμίαν ἀληθῶς

ἔσχεν Ἄραξις κληθείς· ὅπερ ἀπὸ τοῦ ἀράσσω τὸ πλήττω γίνεται. τῷ γὰρ ὀνόματι τούτῳ καὶ ἡ πρᾶξίς ἐστι συνᾴδουσα

οὐ ψευδώνυμον] τὸν οὐ ψευδῶς οὕτω κληθέντα

718 οὐ γὰρ εὔβατος] ἀλλὰ δύσβατος περᾶν] ὥστε. | αὐτόν

719 αὐτὸν Καύκασον] ἤγουν πρὸς ἕτερον μέρος τοῦ Καυκάσου μόλῃς] ἔλθῃς

720 ποταμὸς] οὗτος δηλονότι ὁ Ἄραξις ἐκφυσᾷ] ἐξάγει, ἐκρέει μένος] τὴν ὁρμὴν τοῦ ῥεύματος

721 κροτάφων] τῶν κορυφῶν τοῦ Καυκάσου ἀστρογείτονας] τὰς ὑψηλὰς τὰς μέχρι τῶν ἄστρων διηκούσας

722 κορυφὰς] τοῦ Καυκάσου ὑπερβάλλουσαν] ὑπερβᾶσαν, διελθοῦσαν μεσημβρινὴν] † ἤγουν πρὸς νότιον ὁδεύειν· οὕτω γὰρ τὰ πρὸς νότιον ὀνομάζουσι μέρη

723 βῆναι] πορευθῆναι κέλευθον] † ὁδόν

724 ἥξεις] ἔλθῃς στυγάνορ'] τὸν τοὺς ἄνδρας στυγοῦντα αἳ] αἱ Ἀμαζόνες Θεμίσκυραν] πόλιν Σκυθίας ποτὲ] μετὰ χρόνους πολλούς

725 κατοικιοῦσιν] μέλλουσι κατοικήσειν ἀμφὶ] περὶ τὸν ἵνα] ὅπου

726 τραχεῖα] σκληρά πόντου] τοῦ Εὐξείνου

Ἡ Σαλμυδησσία ἐστὶ ῥαχία ἀκρωτηριώδης ἐοικυῖα ὄνου γνάθῳ. καλεῖται δὲ οὕτως ἀπό τινος Σαλμυδησσοῦ ποταμοῦ ἐνταῦθα εἰσρέοντος εἰς τὴν θάλασσαν γνάθος] στόμα ἢ ἀκρωτήριον

727 ἐχθρόξενος ναύταισι] ἐνταῦθα γὰρ πλεῖστα ναυάγια γίνεται νεῶν

μητρυιὰ νεῶν] τροπικόν· τὸ γὰρ μητρυιὰ ἐπὶ μόνων γυναικῶν λέγεται

728 αὗται] αἱ Ἀμαζόνες μάλ'] λίαν ἀσμένως] φιλήσουσι γὰρ ὡς γυναῖκα

729 Τὸ ἰσθμὸν ἐνταῦθα ἀντὶ τοῦ πορθμὸν νόει. ἰσθμὸς γὰρ ἡ μέσον δύο θαλασσῶν γῆ, πορθμὸς δὲ ἡ μέσον δύο γαιῶν θάλασσα, οἷος ἦν ὁ Κιμμερικὸς Βόσπορος

ἡμέτερον † ἰσθμὸν ἐμοὶ δοκεῖ λέγειν, οὐ τὸν στενὸν τῆς Μαιώτιδος λίμνης αὐλόν, τὸν κατερχόμενον μέχρις Εὐξείνου πόντου, ὃν Κιμμερικὸν ὀνομάζουσι Βόσπορον· πορθμὸς γὰρ τοῦτο καλεῖται, καὶ ὅσοι τῷδ' εἰσὶ παραπλήσιοι, ὁποῖός ἐστι καὶ ὁ Σικελικὸς πορθμός· ἀλλὰ τὴν μέσον Εὐξείνου πόντου καὶ τῆς Μαιώτιδος γῆν, ὡς μέσον δύο θαλασσῶν οὖσαν. τοῦτο δὲ καλεῖται ἰσθμός, ὁποῖός ἐστι καὶ ὁ τῆς Πελοπο<ν>νήσου ἰσθμός. ὅ τι δέ ἐστι, δηλοῖ διὰ τῶν ἑξῆς. λιποῦσαν γάρ φησι τὸν ἰσθμὸν τὸν Κιμ<μ>ερικόν, χρή σε περᾶν τὸν αὐλῶνα τὸν Μαι<ώτιδος> στενόν, ὅ<σ>περ ἀπὸ σοῦ ὀνομασθήσεται Βόσπορος

ἰσθμόν] † τὴν μέσον Εὐξείνου πόντου καὶ τῆς Μαιώτιδος λίμνης λέγει γῆν
στενοπόροις] ἤγουν στεναῖς λίμνης] τῆς Μαιώτιδος

730 Κιμμερικὸν] ἐνταῦθα γὰρ οἰκοῦσιν οἱ Κιμμέριοι θρασυσπλάγχνως] θαρσαλέως

731 αὐλῶν'] τὸν στενὸν αὐλὸν τῆς Μαιώτιδος

732 θνητοῖς] τοῖς ἀνθρώποις εἰσαεὶ] διηνεκῶς μέγας] † ἤγουν πολύς

733 πορείας] τῆς ὁδοῦ Βόσπορος] † ἤτοι βοὸς πόρος ἐπώνυμος] σοῦ, τῆς βοός

734 κεκλήσεται] ὀνομασθήσεται οὗτος ὁ ἰσθμός Εὐρώπης πέδον] † ἤγουν τὰ μέρη τῆς Εὐρώπης

735 ἤπειρον] τὴν γῆν Ἀσιάδ'] τὴν τῆς ἀνατολῆς ὑμῖν] πρὸς τὸν χορὸν ὁ λόγος

736 ὁ] ὁ Ζεὺς τύραννος] ὁ βασιλεύς ὁμῶς] ὁμοίως

737 βίαιος] ἀπηνής θνητῇ] οὔσῃ θεὸς] ὤν

738 μιγῆναι] γαμικῶς ἑνωθῆναι ἐπέρριψε] ἐπέφερε

739 ἔκυρσας] ἐπέτυχες κόρη] Ἰοῖ

740 μνηστῆρος] ἤγουν νυμφίου

741 ἐπῶν] λόγων προοιμίοις] ἐν

Μηδ' ἐπῶν προοιμίοις· τοσοῦτοι γάρ εἰσιν οὓς μέλλεις ἀκοῦσαι λόγους, ὡς οὐδὲ προοίμια ἐκείνων εἶναι οὓς ἀκήκοας

743 αὖ] δὴ ἢ πάλιν κέκραγας] βοᾷς ἀναμυχθίζῃ] ποιὰ φωνή· ἤγουν ἀναμυκᾷ που] ἴσως

744 δράσεις] πράξεις πυνθάνῃ] μανθάνῃς

745 ἦ] ὄντως, ἆρα τῇδε] ταύτῃ πημάτων] ὧν πάσχει κακῶν ἐρεῖς] λέξεις

746 δυσχείμερόν γε] † οὐκ ἐρῶ αὐτῇ τί λοιπὸν ἤγουν ἕν τι πάθος· ἀλλὰ πέλαγος] ἤγουν πλῆθος ἀτηρᾶς δύης] σκληρᾶς καὶ ἀφορήτου δυστυχίας

747 ἐμοὶ] ὑπάρχει ἐν τάχει] † ἐπιρρηματικῶς ἀντὶ τοῦ ταχέως

748 στύφλου] σκληρᾶς, τραχείας

749 ὅπως] ἵνα πέδῳ] ἐν τῇ πεδινῇ γῇ σκήψασα] δίκην σκηπτοῦ πεσοῦσα τῶν πάντων πόνων] ὧν ἔχω καὶ μέλλω παθεῖν

750 ἀπηλλάγην] † ἠλευθερώθην εἰσάπαξ] † ἤγουν μίαν θανεῖν] τινὰ ἢ ἐμέ

751 ἁπάσας] † ἃς μέλλει τις ζῆν πάσχειν κακῶς] † ἤγουν πόνους καὶ θλίψεις ὑφίστασθαι

752 *ἦ*] *ὄντως* *δυσπετῶς*] *δυσκόλως* *τοὺς ἐμοὺς ἄθλους*] *ἤγουν τὰς ἐμὰς δυστυχίας ἅς, ὥσπερ τινὰ ἀγῶνα, ὑφίσταμαι* *ἄθλους*] *πόνους*

753 *ὅτῳ*] *ᾧτινι, ἐμοί* *πεπρωμένον*] *μεμοιρασμένον· θεὸς γάρ εἰμι*

754 Αὕτη γὰρ: *ἤγουν τὸ ἀποθανεῖν. ἀπέδωκε δὲ τὴν σύνταξιν πρὸς τὸ ἀπαλλαγή. καὶ ἔστι τοιοῦτον ὥσπερ τὸ "ξύλινον μόρον εὑρόντες, ἣν παγίδα καλέουσιν"* (Batrachom. 115–117)

αὕτη] *ἤγουν τὸ ἀποθανεῖν* *πημάτων*] *τῶν μόχθων, τῶν πόνων* *ἀπαλλαγή*] *ἐλευθερία*

755 *τέρμα*] *τέλος* *προκείμενον*] *ἤγουν φανερόν*

756 *μόχθων*] *πόνων* *ἐκπέσῃ τυραννίδος*] *βιαίως ἐκβληθήσεται τῆς βασιλείας*

757 *ἦ*] *ὄντως* *ποτ'*] *τοῦτο τὸ ποτὲ πρὸς τὸ ἐκπεσεῖν σύναπτε* Δία] *τὸν*

758 *ἥδοι'*] *εὐφρανθείης* *οἶμαι*] *ὑπολαμβάνω* *συμφοράν*] *τοῦ* Διός

759 *οὐκ ἂν*] *ἡδοίμην ἐγώ*

760 *ὡς τοίνυν ὄντων*] † *ὡς βεβαίως ὄντων καὶ οὐκ ἀμφιβόλως* *τῶνδε*] *ὧν ὁ* Ζεὺς *πείσεται, λέγω τοῦ τῆς ἀρχῆς ἐκπεσεῖν*

ἡμέτερον † *τῶνδέ σοι μαθεῖν πάρα γράφε· οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς. δέον δὲ εἰπεῖν ὡς γενησομένων τῶνδε, ὄντων εἶπεν, ὡς βεβαίων καὶ ἀμετατρέπτων ὄντων καὶ οὐκ ἀμφιβόλων. ὂν γὰρ κυρίως λέγουσι τὸ ἀεὶ ὡσαύτως ἔχον καὶ* <*μὴ μεταβαλλόμενον*>

761 *πρὸς τοῦ*] *παρὰ τίνος* *τύραννα σκῆπτρα*] *τὰ βασιλικὰ ἤγουν τὴν βασιλείαν* *συληθήσεται*] *μετὰ δόλου ἀφαιρεθήσεται*

Παρὰ *τίνος, φησίν, ἀφαιρεθήσεται τὰ σκῆπτρα τύραννα, τουτέστι τυραννικῶς· οὕτω γὰρ ἔμελλεν εἰπεῖν. νῦν δὲ πρὸς τὸ σκῆπτρα τὴν σύνταξιν ἀπέδωκεν. ἢ τὰ τύραννα σκῆπτρα ἀντὶ τοῦ τὰ βασιλικά*

762 Τινὲς λέγουσι *τὸ* $\overline{\textit{πρὸς}}$, *οὐ πρὸς τὸ αὐτοῦ, ἀλλὰ πρὸς τὸ βουλευμάτων, οὕτως, αὐτὸς πρὸς τῶν βουλευμάτων αὐτοῦ τῶν κενοφρόνων· σὺ δὲ πρὸς τὸ αὐτοῦ σύναπτε, ἵν' ᾖ τὸ κενοφρόνων βουλευμάτων ἑρμηνεία τοῦ πρὸς αὐτοῦ*

πρὸς αὐτὸς αὐτοῦ] *αὐτὸς παρ' ἑαυτοῦ* *βουλευμάτων*] *ἕνεκα*

763 *ποίῳ*] *ἐν* *σήμηνον*] *δήλωσον* *βλάβη*] *ἐμοί τε καὶ σοί*

764 *γαμεῖ*] *γαμήσει ἤγουν μεταχειρίζεται γαμῆσαι* *ᾧ*] *ἐν ᾧ* *ἀσχαλᾷ*] λυπηθήσεται

765 *θέορτον ἢ βρότειον*] *ἐκ θεοῦ ὁρμώμενον ἤτοι θείας* (*θεῖον*?) *ἢ βροτοῦ γυναικός* *ῥητὸν*] *ἄξιον* λεχθῆναι *φράσον*] *εἰπέ*

766 *τί*] *ἐρωτᾷς* *ὄντιν'*] *ποῖον* *ῥητὸν*] *ἄξιον* λεχθῆναι *αὐδᾶσθαι*] λέγεσθαι

767 *ἦ*] ἆρα   *πρὸς*] παρὰ   *δάμαρτος*] τῆς γυναικὸς αὐτοῦ   *ἐξανίσταται*] ἐκβληθήσεται   *θρόνων*] ἤγουν τῆς βασιλείας

Εἰκότως εἶπε τὸ ἐξανίσταται· ἐπειδὴ γὰρ θρόνων εἴρηκεν, ἐν δὲ τοῖς θρόνοις καθήμεθα, διὰ τοῦτο ἐξανίσταται εἶπεν ἀντὶ τοῦ τῆς βασιλείας ἐκβληθήσεται

768 *ἢ τέξεταί γε*] ναὶ πρὸς ἐκείνης τῆς δάμαρτος ἥτις γεννήσει   *φέρτερον*] κρείττονα   *πατρός*] τοῦ. | αὐτοῦ

769 *ἀποστροφὴ*] ἀποφυγή   *τύχης*] τῆς δυστυχίας

770 *οὐ δῆτα*] οὐδαμῶς   *πλὴν*] εἰ μή

ἡμέτερον † μὴ γράφε ἐνταῦθα πρὶν ἄν, οὐ γὰρ ἁρμόζει τῷ μέτρῳ, ἀλλὰ πλὴν ἂν ἤγουν εἰ μὴ ἐγὼ ἐκ δεσμῶν λυθῶ· οὕτω γὰρ καὶ ἔν τινι τῶν παλαιῶν ἀντιγράφων εὕρηται, καὶ πρὸς τὸ μέτρον ἔχει ὀρθῶς

771 *ἄκοντος*] μὴ βουλομένου   *Διός*] τοῦ

772 *τιν'*] τὸν λύσοντα   *ἐκγόνων*] ἀπογόνων   *χρεών*] ἤγουν ἀποκείμενόν ἐστιν εἶναι αὐτὸν τινὰ τῶν σῶν ἐκγόνων

773 *ἦ*] ὄντως   *ἀπαλλάξει*] ἐλευθερώσει   *κακῶν*] τῶν

774 *γένναν*] κατὰ τὴν γενεάν   *πρὸς*] σὺν

Ἀπ' Ἰοῦς Ἔπαφος· οὗ Λιβύη· ἧς Βῆλος· οὗ Δαναός· οὗ Ὑπερμνήστρα, ἡ μὴ κτείνασα τὸν ὁμόζυγον Λιγγέα· ἧς Ἄβας· οὗ Προῖτος· οὗ Ἀκρίσιος· οὗ Δανάη· ἧς Περσεύς· οὗ Ἠλεκτρυών· οὗ Ἀλκμήνη· ἧς Ἡρακλῆς· ὁ<μοῦ> πάντες ἄνευ Ἰοῦς εἰσι δεκατρεῖς

775 *εὐξήμβητος* sic] εὔγνωστος, εὐκατάληπτος, εὐνόητος   *χρησμῳδία*] ἡ μαντεία

776 *καὶ μηδὲ*] ἤγουν ἐπεὶ ἃ λέγω οὐ γινώσκεις   *πόνους*] † τοὺς μόχθους οὓς πληθ<υνεῖς?>

777 *προτείνων*] † ἤγουν προυποσχόμενος εἰπεῖν ἃ παθεῖν μέλλω   *ἀποστέρει*] τούτου

778 *θατέρῳ*] τῷ ἑτέρῳ ἤγουν τῷ ἑνί   *δωρήσομαι*] δεξιώσομαι

ἡμέτερα † τὸ μὲν δωροῦμαι τὸ δεξιοῦμαι, ἀπὸ αἰτιατικῆς εἰς δοτικὴν ἔχει τὴν ἀπόδοσιν τῆς συντάξεως, ὡς κἀνταῦθα καὶ παρ' Εὐριπίδῃ· " Ἑλένη σ' ἀδελφὴ ταῖσδε δωρεῖται χοαῖς " (Ores. 117). τὸ δωροῦμαι δὲ τὸ ἀποχαρίζομαι, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. φησὶ γὰρ οὗτος " μέγ' ὠφέλημα τοῦτ' ἐδωρήσω βροτοῖς " (253). γράφεται δὲ καὶ ἀμφότερα παθητικῶς

779 *ποίοιν*] λόγοιν   *αἵρεσιν*] ἐκλογήν, πρόκρισιν

780 *ἑλοῦ*] πρόκρινε

781 *φράσω*] λέξω   *σαφηνῶς*] σαφῶς, φανερῶς

782 † *ὅρα τὴν οἰκονομίαν ἐνταῦθα τοῦ ποιητοῦ· ἵνα γὰρ καὶ ἀμφοτέρους εἴποι τοὺς λόγους, προβάλλει τὸν χορὸν αἰτήσασθαι τοῦδε χάριν εἰπεῖν τὸν ἕτερον· καὶ φησί, τὴν μὲν λοιπὴν αὐτῆς πλάνην εἰπέ, τῇδε χαριζόμενος, τὸν δέ γε λύσοντά σε χάριν ἐμήν. ἵνα δὲ τοῦτον πρόθυμον εἰς τοῦτο ποιήσῃ, τοῦτο γάρ, φησί, ποθῶ* *τούτων*] *τῶν χαρίτων* *τὴν μὲν*] *ἤγουν τὴν λοιπὴν αὐτῆς πλάνην* *τῇδε*] *τῇ* 'Ιοῖ *τήνδ'*] *ἤγουν τὸν λύσοντά σε*

783 *θέσθαι*] *ποιῆσαι* *ἀτιμάσῃς*] *ἀπορρίψῃς καὶ οὐκ ἐθελήσῃς εἰπεῖν*
λόγους] *τοὺς αὐτῆς ἢ τοὺς ἐμούς*

784 *τῇδε*] *τῇ* 'Ιοῖ *γέγωνε*] *εἰπέ*

785 *λύσοντα*] *σὲ τῶν δεσμῶν* *ποθῶ*] *ἀγαπῶ*

786 *ἐναντιώσομαι*] *ὑμῖν*

787 *μὴ οὐ*] *συνίζησις* *γεγωνεῖν*] *εἰπεῖν* *προσχρῄζετε*] *σὺν τοῖς ἄλλοις*

788 'Ιοῖ] *ὦ* *πολύδονον*] *πολυτάραχον, πολύστροφον* *φράσω*] *λέξω*

789 *ἐγγράφου*] *ἐγχάραττε, ἐντύπου* *μνήμοσιν*] *μνημονευτικαῖς δέλτοις*] *βίβλοις*

† *καὶ* Πίνδαρος " *ποτὶ φρένας ἐμὰς γέγραπται* " (Ol. 10.3)

790 *ῥεῖθρον*] *ἤτοι τὸν* Τάναϊν *ἠπείρων*] 'Ασίας *καὶ* Εὐρώπης *ὅρον*] *ὁρ<ισμόν>*

"Ορον: *ὁ* Τάναϊς *ὅρος ἐστὶ τῶν δύο <ἠπείρων>* '*Ασίας καὶ* Εὐρώπης, *ὡς ὁ περι<ηγ>ητὴς μαρτυρεῖ, λέγων·* " Εὐρώπην *δ'* 'Ασίης Τάναϊς *διὰ μέσσον ὁρίζει*" (Dionysius, Orbis descrip. 14). *ὁ δέ γε* Νεῖλος '*Ασίαν καὶ* Λιβύην *ὁρίζει.*

791 *ἡμέτερον* † *οὐ χρὴ γράφειν ἐνταῦθα φλογωπὰς ἀντολάς, ἀλλὰ φλογῶπας, ἵνα οἰκείως ἔχῃ πρὸς τὸ μέτρον· φλογῶπες γὰρ εἶεν ἀνατολαὶ αἱ φλογεροὺς οἷον ἔχουσαι ὦπας, διὰ τὸ φωτεινὸν καὶ φλογῶδες τοῦ ἡλίου. ἀπὸ τοῦ φλογῶπες οὖν καὶ φλογῶπας χρὴ γράφειν ὡς εἴρηται. οὕτω γὰρ ἔσται τὸ* $\overline{πας}$ *βραχὺ καὶ οἰκεῖον τῷ μέτρῳ* *φλογῶπας*] *καυστικάς* *ἡλιοστιβεῖς*] *ἔνθα ὁ ἥλιος στίβει καὶ διατρίβει*

792 *πόντον*] *ἤγουν τὸν* Βόσπορον *φλοῖσβον*] *ἤγουν τὸν ἠχητικόν*
ἔστ' ἂν] *ἕως ἂν* *ἐξίκῃ*] *ἔλθῃς*

793 Γοργόνεια] *ἤγουν τὰ τῶν* Γοργόνων Κισθήνης] *πόλις* Αἰθιοπίας *αὕτη* *ἵνα*] *ὅπου*

Κισθήνη *πόλις* Αἰθιοπίας: *περὶ αὐτὴν δέ εἰσι τὰ* Γοργόνεια *πεδία, ἐν οἷς κατοικοῦσι* Δινὼ Πεφριδὼ *καὶ* 'Ενυώ, *αἱ τοῦ* Φόρκυνος *τοῦ υἱοῦ τοῦ* Ποσειδῶνος *καὶ* Γῆς, *ὃς μιγεὶς τῇ ἑαυτοῦ ἀδελφῇ* Κητοῖ *ταύτας ἀπέτεκε. κατῴκουν δὲ ὑπὸ γῆν, καὶ οὔτε ἡλίῳ οὔτε σελήνῃ ἦσαν θεαταί, κυκνόμορφοι δὲ ἦσαν διὰ*

τὴν λευκότητα, ἢ διὰ τὸ τραχήλους ἔχειν μακρούς, ἢ διὰ τὸ ἔχειν εἶδος κύκνου

794 αἱ Φορκίδες] αἱ τοῦ Φόρκυνος θυγατέρες ναίουσι] οἰκοῦσιν δήναιαι] πολυχρόνιοι ἤγουν αἱ γηραιαὶ ἢ αἱ ἀθάνατοι

795 κυκνόμορφοι] διὰ τὴν λευκότητα κοινὸν κτέ] ἑτέρα γὰρ παρ' ἑτέρας ἐλάμβανεν ὅτε ἤθελε βλέπειν κεκτημέναι] ἔχουσαι

796 μονόδοντες] ἤγουν ἀνὰ ἕνα ὀδόντα ἔχουσαι οὔθ' ἥλιος] διὰ τὸ ὑπὸ γῆν κατοικεῖν προσδέρκεται] προσβλέπει

797 ἀκτῖσιν] ἐν ταῖς ἡ νύκτερος] ἡ ἐν νυκτὶ φαίνουσα μήνη] ἡ σελήνη

798 πέλας] τὸ πέλας πρὸς τὸ τῶνδε σύναπτε οὐ πρὸς τὸ ἀδελφαί κατάπτεροι] πτερωταὶ διόλου

799 δρακοντόμαλλοι] ἀντὶ γὰρ πλοκάμων ὄφεις ἔχουσιν ἐξαπτομένους τῆς κεφαλῆς Γοργόνες] Σθενὼ Εὐρυάλεια Μέδουσα. βροτοστυγεῖς] αἱ τοῖς βροτοῖς στυγούμεναι

Βροτοστυγεῖς: αἱ τοῖς βροτοῖς στυγούμεναι καὶ μισούμεναι διὰ τὸ φοβερὸν αὐτῶν· εἶχον γὰρ καὶ αὗται, ὡς φασίν, ὀφθαλμὸν ἕνα, συῶν μεγάλων ὀδόντας, καὶ χεῖρας χαλκᾶς

800 θνητὸς] ἄνθρωπος εἰσιδὼν] † ἰδών ἕξει πνοὰς] ἀπολιθοῦται γὰρ αὐτίκα

801 Τοιοῦτο μέν σοι: ἐνταῦθα τὸ ὅταν ἀποδίδοται, καὶ οὐχ ὡς φασί τινες ὄπισθεν, λέγοντες οὕτως· ἣν ἐγγράφου σὺ μνήμοσι δέλτοις φρενῶν, τό τε ὅταν περάσῃς τὸν τῆς Ἀσίας καὶ Εὐρώπης διορισμὸν Τάναϊν. εἰπὼν γὰρ ὅταν περάσῃς τὸν Τάναϊν, ἔστ' ἂν εἰς τὰς Φόρκυνος θυγατέρας καὶ εἰς τὰς Γοργόνας ἀφίξῃ, ἐπιφέρει τοῦτο· τοιοῦτο μέν σοι φρούριον λέγω, τουτέστιν ἃς ἄνωθεν εἶπον Γοργόνας καὶ Φορκίδας δεῖ σε φυλάττεσθαι ἵνα μὴ τὸ ζῆν ἀπολέσῃς. δόξει δέ τισι τουτὶ δυσχερές, πλὴν οὐ τοῖς ἄριστα μεταχειριζομένοις τοὺς λόγους τοιοῦτο μέν σοι] ταῦτά σοι λέγω φυλάξασθαι τοῦτο] ἤγουν τὰς Φορκίδας καὶ Γοργόνας φρούριον] ἤγουν φύλαγμα

802 † ἄλλην δ' ἄκουσον: διὰ τὸ διηγεῖσθαι αὐτῇ ἃ μέλλει ἰδεῖν δυσχερῆ, ἄκουσον, εἶπε, θεωρίαν καὶ οὐκ ἰδέ. τὴν γὰρ θεωρίαν ὀφθαλμοῖς βλέπομεν, ἀκούομεν δὲ διηγουμένων ἑτέρων ἃ ἴσως ἰδεῖν μέλλομεν

ἄλλην δ' ἄκουσον] † ἤγουν ἄκουσον περὶ ἧς μέλλεις ἰδεῖν θεωρίαν δυσχερῆ] † δύσκολον καὶ ἀφόρητον

803 ὀξυστόμους] ὀξῦς (sic) ἔχοντας ὀδόντας Ζηνὸς] τοῦ Διός ἀκραγεῖς] καταπολὺ κράζοντας, πολυφώνους

804 φύλαξαι] † μή τι κακὸν πάθῃς ὑπ' αὐτῶν μουνῶπα] τὸν μονόφθαλμον στρατὸν] τοὺς κυνοκεφάλους ἔοικε λέγειν

805 ἀριμασπόν] † ἤγουν τὸν μέγαν ἔχοντα ὀφθαλμόν· τοιούτους γὰρ λέγουσι τοὺς κυνοκεφάλους εἶναι

Ἀριμασποὶ καλοῦνται <διὰ> τὸ ἕνα ὀφθαλμὸν ἔχειν. <ἄρι γὰρ κατὰ γλ>ῶσσαν τὸ ἕν, καὶ μασπὸς <ὁ ὀφθαλ>μός, καὶ αὐτὸ κατὰ γλῶ<σσαν Αἰγυ>πτίαν δοκεῖ . . .

<†?> ἀριμασπὸν ἐμοὶ δοκεῖ λέγειν, οὐ τὸν μονόφθαλμον, ὥς τινες λέγουσιν, ἀλλὰ τὸν <μέγαν>ἔχοντα ὀφθαλμόν, ἀπὸ τοῦ ἄρι ἐπιτατικοῦ καὶ τοῦ μασπὸς ὁ ὀφθαλμός. <εἰπὼν δὲ> μονῶπα στρατὸν ἐπήγαγε καὶ ἀριμασπόν, δεικνὺς μέγαν εἶναι τὸν ἕνα αὐτῶν ὀφθαλμὸν καὶ ἱκανὸν βλέπειν. τοιούτους δὲ . . . οὓς ἱστοροῦσι κυνοκεφάλους, ἐν τῷ μετώπῳ ἕνα μέγαν ὀφθαλμὸν ἔχοντας καὶ δίκην κυνὸς ὀξὺ στόμα

ἱππόβαμον] ἱππικόν   χρυσόρρυτον] τὸ χρυσὸν ῥέον

806 ἀμφὶ] περὶ   πόρον] περὶ τόν. | λέγω

Πλούτωνος πόρον: φασὶν ὡς ἀπὸ τοῦ πολὺν ἐν τούτῳ χρυσὸν εὑρίσκεσθαι, τοῦτο τὸ ὄνομα ἔσχηκεν. ἕτεροι δὲ τὸν Πλούτωνα οὐκ ὄνομά φασι ποταμοῦ ἑτέρου, ἀλλὰ τὸν Νεῖλον αὐτόν, ὃς διὰ τὸ πιαίνειν τὴν Αἴγυπτον πλούτων καὶ χρυσορρόας καλεῖται. σὺ δὲ μὴ οὕτω νόει· κάτω γὰρ περὶ τοῦ Νείλου διεξέρχεται

807 πέλαζε] πλησίαζε   τηλουρὸν] εἰς. | μακράν   γῆν] ἤγουν τὴν Αἰθιοπίαν

808 ἥξεις] ἔλθῃς   κελαινὸν] τὸ μέλαν   φῦλον] γένος   πρὸς] ἐν ταῖς

809 ναίουσι] οἰκοῦσι   πηγαῖς] ἀρχαῖς   ἔνθα] ὅπου ἐστί   Αἰθίοψ] ὁ Γάγγης

810 ἕρφ'] ἕρπε, διέρχου   ἐξίκῃ] ἔλθῃς

811 καταβασμόν] ὄρος διορίζον Ἀσίαν καὶ Λιβύην. | εἰς τὸν

Ἀπό τινος βοτάνης βύβλου καλουμένης καὶ φυομένης ἐν τοῖς ὄρεσι τούτοις, Βύβλινα τὰ ὄρη ὠνόμασεν

812 ἵησι] πέμπει   σεπτὸν] σεβάσμιον διὰ τὸ πιαίνειν τὴν Αἴγυπτον   εὔποτον] ἡδὺ εἰς τὸ πίνειν αὐτό   ῥέος] ῥεῦμα

813 οὗτος] ὁ Νεῖλος   ὁδώσει] ὁδοποιήσει, ὁδηγήσει   χθόνα] τὴν Αἴγυπτον

Τρίγωνον χθόνα τὴν Αἴγυπτον λέγει· τοιοῦτον γὰρ ἔχει σχῆμα· ἣν καὶ Δέλτα καλοῦσι διὰ τὸ ἐοικέναι τῷ δέλτα στοιχείῳ. ταύτην εἰς τρία διεμήρισαν Αἰγύπτιοι <ἵ>ν' ἐπίσης ὁ Νεῖλος ταύτην ἀρδεύῃ

814 Νειλῶτιν] τὴν ὑπὸ Νείλου ἀρδευομένην   οὗ] ὅπου   μακρὰν] διὰ τὸ ἀπ' Ἄργους μετοικῆσαι αὐτήν, μακρὰν εἶπεν

815 Ἰοῖ] ὦ πέπρωται] † μεμοίρασται τέκνοις] τοῖς σοῖς κτίσαι] ἤγουν ποιῆσαι

816 τῶν δ'] ἀπόθεσις καί συμπέρασμα ψελλόν] παρακεκομμένον καὶ δύσγνωστον ἐκ μεταφορᾶς τῶν ψελλιζόντων παιδίων δυσεύρετον] † δυσνόητον

817 ἐπαναδίπλαζε] ἤγουν πάλιν ἐρώτα σαφῶς] † ἀληθῶς, φανερῶς ἐκμάνθανε] † ἤγουν μάνθανε

818 Σχολὴ ἡ διατριβὴ τῶν παίδων, καὶ ἡ ἄδεια καὶ ἀργία· σχολὴν γὰρ ἄγω φαμὲν καὶ ἔστιν ὄνομα, σχολῇ δὲ ἀντὶ τοῦ βραδέως, καὶ ἔστιν ἐπίρρημα· ὅπερ οἱ Ἀττικοὶ ἀντὶ τοῦ οὐδαμῶς λαμβάνουσιν

σχολὴ] ἄδεια δὲ] γὰρ πλείων ἢ θέλω] διὰ τὸ ἐσταυρῶσθαι καὶ μὴ δύνασθαι κινεῖσθαι ἀλλαχοῦ

819 λοιπὸν] ἐπίλοιπον παρειμένον], παροφθέν, παραλελειμμένον

820 γεγωνεῖν] λέγειν πολυφθόρου] τῆς πολλὰς φθορὰς αὐτῇ προξενούσης

821 εἴρηκας] εἶπες

822 αἰτούμεθα] † ἤγουν αἰτοῦμεν που] ἴσως

823 ἡμέτερα † δέον εἰπεῖν τὸ τέλος πάσης τῆς ὁδοῦ, τὸ πᾶν εἶπεν ἀντιστρόφως πρὸς τὸ τέρμα. τὸ πᾶν γὰρ ἐπὶ τοῦ καθόλου τίθεται, τὸ τέρμα δέ ἐστι μερικόν τὸ πᾶν πορείας] † ἀντὶ τοῦ τὸ τέλος πάσης τῆς ὁδοῦ ἥδε] ἡ Ἰώ τέρμ'] τὸ τέλος ἀκήκοεν] † ἤκουσεν

824 εἰδῇ] γνωρίσῃ μὴ μάτην κλύουσά μου] ἤγουν ὅσα παρ' ἐμοῦ ἤκουσεν οὐ ψευδῶς ταῦτα ἀκήκοεν

825 πρὶν] πρὸ τοῦ μολεῖν] ἐλθεῖν δεῦρ'] ἐνταῦθα ἐκμεμόχθηκε] μετὰ μόχθου καὶ κόπου ὑπέμεινεν φράσω] λέξω

826 τεκμήριον] σημεῖον τοῦτ'] τὸ τὰ πρόσθεν ἐρεῖν ἃ πέπονθεν μύθων ἐμῶν] οὓς ἔφην αὐτῇ περὶ τῆς λοιπῆς πλάνης. | ὅτι ἀληθεῖς εἰσιν

827 ὄχλον] ἤγουν τὸ πλῆθος τὸν πλεῖστον] † τὸν πολύν ἐκλείψω] † καταλείψω

† δέον εἰπεῖν κἀνταῦθα πληθυντικῶς τῶν πλείστων καὶ πολλῶν λόγων τὸ πλῆθος ἐκλείψω καὶ καταλείψω, πλεῖστον ἑνικῶς εἶπε πρὸς τὸ ὄχλον. ὄχλος δέ ἐστι κυρίως τὸ τοῦ λαοῦ πλῆθος, ἐξ οὗ γίνεται καὶ ἡ ὀχλοκρατία ὅταν ὁ ὄχλος ἄρχῃ, ὥσπερ ἀπὸ τοῦ δήμου δημοκρατία. ἐνταῦθα δὲ ὄχλον τὸ πλῆθος μόνον εἴρηκε καταχρηστικῶς. λέγεται ὄχλος καὶ ἡ ὄχλησις, ἐξ οὗ φαμεν δι' ὄχλου ἐγενόμην τῷ δεῖνι, ἀντὶ τοῦ ἠνώχλησα αὐτόν. ἀπὸ τούτου γὰρ καὶ τὸ ἐνοχλῶ γίνεται καὶ διενοχλῶ καὶ παρενοχλῶ

828 εἶμι] πορεύσομαι τέρμα] τέλος

829 Ante vers. *διήγησις* Μολοσσὰ] *μεταξὺ* Θετταλίας *καὶ* Αἰτωλίας *οἱ* Μολοσσοί, *οἳ ἀπό τινος οὕτως ἐκλήθησαν* Μολοσσοῦ

830 *αἰπύνωτον*] *τὴν ὑψηλήν· αἰπὺ γὰρ τὸ ὑψηλόν* *ἀμφὶ*] *περὶ* *ἵνα*] *ὅπου*

831 *θῶκος*] *ἤγουν ναός* Θεσπρωτοῦ] *ἀπὸ* Θεσπρωτίδος *γῆς ὠνομασμένου*

832 Τέρας *ἄπιστον*: *ἀπιστοῦσι γὰρ ἄνθρωποι εἶναι δρῦν φωνητικήν, ἰδόντες δ' ἐκπλήττονται· τὸ δὲ προσήγοροι ἀντὶ τοῦ φωνητικαί. μία δὲ ἦν εἰ καὶ πληθυντικῶς οὗτος λέγει*

ἄπιστον] *δυσκόλως εἰς πίστιν ἐρχόμενον* *προσήγοροι*] *αἱ φωνητικαί, αἱ προσφθεγγόμεναι*

833 *ὧν*] *δρυῶν* . *λαμπρῶς*] *φανερῶς* *οὐδὲν*] *οὐδαμῶς* *αἰνικτηρίως*] *αἰνιγματωδῶς καὶ ἀσαφῶς*

834 *προσηγορήθης*] *ἐκλήθης* *Διὸς*] *τοῦ* *κλεινὴ*] . . . *ἔνδοξον* *δάμαρ*] *γυνή*

835 Τῶνδε *προσσαίνει σέ τι*: *τοῦτο διαμέσου εἴρηται.* *λέγει δὲ ὅτι προσσαίνει σέ τι τούτων ἀντὶ τοῦ θέλγει καὶ κατέχει, καὶ οὐκ ἄλλης τινὸς ἢ σοῦ ταῦτα γνωρίζεις παθ<ήματα>*

τῶνδε] *ὧν φημι* *προσσαίνει*] *προσθέλγει καὶ οἷον κολακεύει καὶ εἰς ἡδονήν ἐστιν*

836 *ἐντεῦθεν*] *ἐκ τούτου τοῦ τόπου* *οἰστρήσασα*] *ὑπὸ οἴστρου ἐκβακχευθεῖσα* *τὴν*] *εἰς* *παρακτίαν*] *τὴν παραθαλασσίαν*

837 *κέλευθον*] *ὁδόν* *ἦξας*] *ὥρμησας* *κόλπον* Ῥέας] *τὸ* Ἰόνιον *λέγει πέλαγος*

Ὅτι *ὁ νῦν καλούμενος* Ἰόνιος *κόλπος πρώην* Ῥέας *κόλπος ἐλέγετο, ἀπὸ τοῦ ἐκεῖ τὴν* Ῥέαν *τιμᾶσθαι*

838 *οὗ*] *κόλπου* *πολυπλάκτοισι*] *πολυπλάνοις* *χειμάζῃ*] *δαμάζῃ ὡς ὑπό τινος χειμῶνος*

839 *χρόνον*] *μετὰ* *τὸν μέλλοντα*] *τὸν ὕστερον ἤγουν κατὰ τοὺς ἑξῆς χρόνους* *πόντιος μυχὸς*] *ἤγουν ὁ μέγας κόλπος τῆς* Ῥέ<ας>

840 *σαφῶς*] *φανερῶς* *ἐπίστασ'*] *γίνωσκε* *κεκλήσεται*] *κληθήσεται*

841 *πορείας*] *τῆς ὁδοῦ* *βροτοῖς*] *ἀνθρώποις*

842 *ἀπόθεσις* *σημεῖα*] *γνωρίσματα ὅτι μαντική ἐστι καὶ προορᾷ τὰ μέλλοντα* *φρενὸς*] *γνώσεως*

843 *ὡς*] *ὅτι* *δέρκεται*] *βλέπει* *πλέον κτέ*] *ἤγουν καὶ τὰ κρυπτὰ* ***οἶδεν*** *τοῦ πεφασμένου*] *τοῦ φανεροῦ, τοῦ φαινομένου*

844 ὑμῖν] ἤγουν σοί, τῷ χορῷ   τῇδέ τ'] καὶ τῇ Ἰοῖ   κοινὸν] ἤγουν κοινῶς   φράσω] λέξω

845 τῶν πάλαι λόγων] ὧν εἶπον πρότερον   ἴχνος] τὸ τέλος

846 Ante vers. ἑτέρα διήγησις. Κάνωβος ἦν κυβερνήτης τῶν νεῶν Μενελάου, ὃν μετὰ τὴν ἐκ Τροίας ἀπόβασιν ἐν τούτῳ τῷ τόπῳ ὄφις δακὼν ἀναιρεῖ, καὶ Μενέλαος νεὼν αὐτοῦ καὶ πόλιν κτίζει ἐπώνυμον

ἐσχάτη χθονὸς] τελευταία ἤγουν εἰς τὸ τέλος τῆς Αἰγύπτου ἢ τῆς Λιβύης

847 πρὸς] ἐν   προσχώματι] ἤγουν τῇ ὄχθῃ

Πρόσχωμα λέγεται ὁ ἀναχωματισμὸς καὶ οἱονεὶ ὁ ὑπερανεστηκὼς τόπος τῶν ποταμῶν. κυρίως δὲ ἐκεῖνο ἔνθα καταρρέον ὕδωρ ἰλὺν καὶ ψαμμὸν περιττὴν τίθησι σωρηδόν

848 ἐνταῦθα] ἤγουν κατὰ τὴν Κάνωβον   τίθησιν] † ἀντὶ τοῦ ποιήσει Ἀττικῶς   εὔφρονα] ἤγουν πάλιν εἰς ἄνθρωπον μεταμείψει σε νοῦν ἔχουσαν

849 ἐπαφῶν] ἰφαπτόμενος   ἀταρβεῖ] ἤγουν μὴ φόβον ποιούσῃ

Ἀταρβεῖ χειρὶ λέγει θίγων, ἀντὶ τοῦ οὐκ ἐπὶ κακῷ ἀλλ' ἐπὶ καλῷ αὐτῆς θιγών   θίγων μόνον] ψαύων μόνον καὶ μὴ ἄλλο τι ποιῶν

850 γεννημάτων] τῆς ἐπαφῆς καὶ ψαύσεως

Γεννήματα Διὸς λέγει τὴν ἐπαφὴν ἐπειδὴ ἐξ αὐτῆς ἐτεκνοποίησεν· αὕτη γὰρ ἀντὶ σπέρματος ἤρκεσε. δέον δὲ εἰπεῖν σπερμάτων, γεννημάτων εἶπεν, ἀπὸ τοῦ ποιουμένου τὸ ποιοῦν

851 τέξεις] γεννήσεις   κελαινὸν] μέλανα   καρπώσεται] ἤγουν κτήσεται

852 πλατύρρους] ὁ πλατὺ ἔχων ῥεῦμα   ἀρδεύει] διέρχεται, πιαίνει   χθόνα] ἤγουν τὴν Αἴγυπτον καὶ τὴν ἄλλην Αἰθιοπίαν

853 Πέμπτην γένναν τὸν Δαναὸν λέγει φεύγοντα εἰς Ἄργος διὰ τὸ μὴ βούλεσθαι τῶν αὐτοῦ θυγατέρων τὸν γάμον συνάψαι τοῖς τοῦ ἀδελφοῦ Αἰγύπτου παισί. γεγράφαμεν δὲ τὴν ἱστορίαν ἐν τῇ Εὐριπίδου Ἑκάβῃ [1]

πεντηκοντόπαις] πεντήκοντα παίδων οὖσα

854 οὐχ ἑκοῦσ'] ἀλλ' ἄκουσα   ἐλεύσεται] † ἀφίξεται

855 θηλυσπόρος] ἤγουν θήλεια   συγγενῆ] συγγενικόν   γάμον] † συνάφειαν

856 ἀνεψιῶν] ἐξαδέλφων   ἐπτοημένοι] περιεσπασμένοι καὶ τεταραγμένοι   φρένας] τὸν νοῦν τῷ ἔρωτι

857 Κίρκους ὠνόμασε τοὺς Αἰγύπτου υἱοὺς διὰ τὸ ἁρπακτικὸν αὐτῶν, πελείας δὲ τὰς Δαναοῦ θυγατέρας διὰ τὸ ἀφροδισιαστικόν· τοιαῦτα γὰρ καὶ

[1] A later hand has entered on the margin: Σή (σημείωσαι) ὅτι ὁ γραμματιστὴς καὶ εἰς Ἑκάβην Εὐριπίδου ἐξήγησιν ἔγραψεν.

ἀμφότερα τὰ ὄρνεα κίρκοι] ὀξύπτεροι οἷον ὄντες πελειῶν] περιστερῶν
λελειμμένοι] ἀπολειφθέντες

858 ἥξουσι] ἐλεύσονται θηρεύσοντες] ἀγρεύσοντες οὐ θηρασίμους] ἐκεῖνοι γὰρ ἠγρεύθησαν ὑπ' αὐτῶν· ἀλλ' οὐκ αὐτὰς ἤγρευσαν

859 φθόνον δὲ σωμάτων] ἤγουν φθονήσει τοῖς αὐτῶν σώμασι καὶ ἀπολέσει αὐτά θεός] ἡ 'Αφροδίτη ἢ ἡ Τύχη

860 Πελασγία] γῆ ἤτοι τὸ Ἄργος δέξεται] τὰ αὐτῶν σώματα θηλυκτόνῳ] αἱ Δαναΐδες γὰρ αὐτοὺς ὤλεσαν

861 Ἄρει] πολέμῳ δαμέντων] δαμασθέντων νυκτιφρουρήτῳ θράσει] νυκτὸς γὰρ φυλαξάμεναι τούτους ἀνεῖλον

862 αἰῶνος] τῆς κατ' αὐτὸν ζωῆς στερεῖ] στερήσει

863 δίθηκτον] ἀμφοτέρωθεν ἠκονημένον ἤγουν δίστομον

864 τοιάδ'] <τοιαύ>τη ἐχθροὺς] ἤγουν τὸν Δία καὶ τοὺς λοιπούς
ἔλθοι] ἤγουν αἰτία θανάτου γένοιτο τούτοις Κύπρις] ἤτοι γάμος

Κύπρις θεὰ παρ' Ἕλλησιν ἔφορος τῆς συνουσίας καὶ τῶν γάμων καὶ τῶν ἀφροδισίων ἐπιστάτης. λέγεται δὲ Κύπρις καὶ αὐτὸς ὁ γάμος καὶ ἡ πρὸς ἀλλήλους τῶν γαμούντων συνάφεια

865 [μίαν] δὲ παίδων] <'Υπερμνήστραν·> Λιγγεῖ γὰρ μιγεῖσα ἔλεον ἔσχεν αὐτοῦ ἵμερος] ἐπιθυμία, ἔρως

866 ξύνευνον] τὸν Λιγγέα ἀπαμβλυνθήσεται] ἐξασθενήσει, μαλακισθήσεται ἐκ μεταφορᾶς τοῦ ξίφους

867 γνώμην] τὸν νοῦν δυοῖν δὲ θάτερον] ἓν τῶν δύο ὧν μέλλει ἐρεῖν
βουλήσεται] θελήσει

868 κλύειν] ἀκούειν, ὀνομάζεσθαι ἄναλκις] ἀσθενής μιαιφόνος] ἤγουν μιανθεῖσα ἐν φόνῳ ἤγουν φονεύτρια

869 αὕτη] ἡ 'Υπερμνήστρα τέξει] γεννήσει

870 δεῖ] χρεία ἐστί ἐπεξελθεῖν] διελθεῖν καὶ εἰπεῖν τορῶς] σαφῶς καὶ κατὰ λεπτόν

871 σπορᾶς] ἤγουν τοῦ σπέρματος γε μὴν] δέ τῆσδε] τῆς 'Υπερμνήστρας φύσεται] γεννηθήσεται θρασύς] ἀνδρεῖος ἤγουν ὁ 'Ηρακλῆς

872 τόξοισι] ἐν κλεινός] ἔνδοξος πόνων] ἤγουν τῶν δεσμῶν

873 λύσει] τοξεύσας τὸν τοὐμὸν ἧπαρ ἐσθίοντα ἀετόν
τοιόνδε] τοῦτο διαμέσου χρησμὸν] μαντείαν ἡ παλαιγενὴς] ἡ γηραιά

874 διῆλθε] διηγήσατο, εἶπεν Τιτανὶς] ἡ ἐκ Τιτάνων καταγομένη

875 *ἡμέτερα* † *ἐν τοῖς ἀρίστοις τῶν ἀντιγράφων οὕτως εὕρηται· ὅπως δ' ἔχω, πῆ ταῦτα δή. καί μοι δοκεῖ τοιοῦτό τοι λέγειν, ὅπως δὲ ἕξω κατ' ἀντιχρονισμὸν Ἀττικῶς, ἤγουν πῶς τὰ κατ' ἐμὲ ἕξει· καὶ πῆ ταῦτα δή, ἤγουν ἐν ποίῳ χρόνῳ ἔσται δηλονότι. τουτέστι πότε πληρωθήσεται, μακροῦ λόγου ὑπάρχει εἰπεῖν ἤγουν διηγήσασθαι*

ἔχω] † *ἤγουν ἕξω* *πῆ ταῦτα δή*] † *ἐν ποίῳ χρόνῳ ἔσται δηλονότι* *μακροῦ λόγου*] † *ὑπάρχει*

876 *εἰπεῖν*] † *ἤγουν διηγήσασθαι* *τ'*] *καὶ* *ἐκμαθοῦσα*] † *ἤγουν μαθοῦσα* *κερδανεῖς*] † *ὠφεληθήσῃ*

877 † *ἐλελελελελελεῦ: σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων ἀναπαιστικῶν ι', ὧν τὸ α' καὶ δ' μονόμετρα, τὸ μὲν πρῶτον ἐκ τετραβράχεος ἤτοι προκελευσματικοῦ καὶ ἀναπαίστου, τὸ δὲ δ' καθαρόν. τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα· τὸ μέντοι δέκατον δίμετρόν ἐστι καταληκτικὸν ἤτοι ἐφθημιμερές, ὃ καλεῖται παροιμιακόν, ὡς ἀποθετικόν. ἐπὶ τῷ τέλει παράγραφος*

ἐλελελελελελεῦ] † *μίμημα θρήνου πεποιημένον*

878 *σφάκελος*] *πάθος περὶ τὸν ἐγκέφαλον* *φρενοπληγεῖς*] *τὴν φρένα πλήττουσαι καὶ συγχέουσαι*

879 *θάλπουσ'*] *ὑπεκκαίουσι* *ἄρδις*] *βέλος*

880 *χρίει*] *κεντεῖ, νύττει* *ἄπυρος*] *μὴ ἔχων πῦρ*

881 *λακτίζει*] *τύπτει*

Λακτίζει ἤγουν τύπτει· ἤτοι παραφρονῶ καὶ τοῦ καθεστηκότος ἐξίσταμαι ὑπὸ τοῦ φόβου. φόβου γὰρ τῇ καρδίᾳ συμβάντος αὕτη παλλομένη τὰς γείτονας φρένας πλήττει· φρένες δέ εἰσιν τὸ περὶ τὸ ἧπαρ ὑμενῶδες διάφραγμα, ὃ ὑπεζωκότα καλοῦσιν. ἢ ὅτι τῆς καρδίας πασχούσης ἀχλὺς ἀναθυμιάσεως πρὸς τὸν ἐγκέφαλον ἀνιοῦσα συνθολοῖ τὰς φρένας καὶ τοῦ καθεστηκότος ἐξίστησιν

882 *τροχοδινεῖται*] *περιφέρεται, δίκην τροχοῦ στρέφεται* *ὄμματ'*] *τὰ ἑλίγδην*] *περιεστραμμένως*

883 *δρόμου*] *τοῦ καθεστηκότος καὶ τῆς ὀρθῆς ὁδοῦ* *λύσσης*] *μανίας*

884 *μάργῳ*] *μανικῷ, ὁρμητικῷ* *γλώσσης ἀκρατής*] *παραφρονοῦσα γὰρ καὶ παραπαίουσα λάλος ἦν*

885 Θολεροὶ δὲ λόγοι: *λόγοι δὲ προσκρούουσι πρὸς κύμασι στυγνῆς καὶ χαλεπῆς μανίας θαλεροὶ καὶ συγκεχυμένοι, τουτέστιν ὑπὸ τοῦ χειμῶνος τῆς μανίας ἀναταραχθεῖσα τὸν λογισμὸν θολεροὺς λόγους προΐεμαι.* *θολεροὶ*] *συγκεχυμένοι* *παίουσ' εἰκῇ*] † *παραπαίουσιν ἤγουν παραφόρως καὶ ματαίως ἐξέρχονται τοῦ στόματος*

886 στυγνῆς] χαλεπῆς, λυπηρᾶς   πρὸς] ἐν   ἄτης] † βλάβης ἤτοι τῆς μανίας

887 Ante vers. στροφὴ κώλων θ′

ἡμέτερον † ἢ σοφὸς ἢ σοφός: τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται ἐπῳδικὰ ὡς εἴρηται· ἔστι δὲ τὰ παρόντα τριὰς ἐπῳδική· τῆς μὲν οὖν στροφῆς τὰ κῶλα θ′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα.[1] τὸ α′ χοριαμβικὸν δίμετρον καταληκτικόν, ἐκ χοριάμβου καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον, ἢ δακτυλικὸν πενθημιμερές. τὸ β^τερον^ προσοδιακὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. τὸ γ′ ὅμοιον δίμετρον ὑπερκατάληκτον, ἐξ ἰωνικοῦ ὁμοίου χοριάμβου καὶ συλλαβῆς· εἴη δὲ καὶ ἀναπαιστικὸν ἐφθημιμερές. τὸ δ′ ὅμοιον τῷ β^τέρῳ^ ἐξ ἐπιτρίτου β^τέρου^ καὶ χοριάμβου. τὸ ε′ ἰωνικὸν δίμετρον καταληκτικόν, ἐξ ἰωνικοῦ ἀπ' ἐλάττονος καὶ κρητικοῦ ἤτοι ἀμφιμάκρου. τὸ ς′ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ζ′ ἀναπαιστικὸν μονόμετρον. τὸ η′ προσοδιακὸν τρίμετρον καταληκτικόν, ἐξ ἐπιτρίτου β^τέρου^ ἀντὶ ἰωνικοῦ χοριάμβου καὶ ἀναπαίστου· τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον ἐπιτρίτους ἔχει καὶ ἀμφοτέρους τοὺς πόδας. τὸ θ′ τροχαϊκὸν τρίμετρον καταληκτικόν. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστροφῆς παράγραφος μόνη

ἡμέτερον † περισσὸν ἦν ἐνταῦθα τὸ ἐν γνώμᾳ· ἦν γὰρ "ὃς πρῶτος ἐν γνώμᾳ·" διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ. ὅμοιον γὰρ χρὴ εἶναι τὸ κῶλον τῷ τῆς ἀντιστροφῆς. νοεῖν δὲ χρὴ τὸ ἐβάστασεν, ἐν τῷ νῷ δηλονότι. ἐβάστασε δὲ εἶπε καὶ οὐκ ἐνόησεν, ὅτι οἱ νόμους τινὰς τιθέντες, οὐχ ἅμα τῷ νοῆσαι τούτους προφέρουσιν, ἀλλὰ πολὺν πρότερον καθ' ἑαυτοὺς μελετῶντες χρόνον καὶ ἀνελίττοντες καὶ τὸ μὴ καλῶς ἔχον διορθούμενοι, οὕτω τούτους καὶ διὰ γλώττης ἐκφαίνουσιν ἵνα μή τις τούτοις ἀντειπεῖν ἔχοι

Ἦ σοφὸς ἢ σοφὸς ἦν: τὸν Πιττακὸν λέγει, ὅν ποτέ τις βιαζόμενος ὑπὸ δύο γυναικῶν, τῆς μὲν οὔσης πλουσίας καὶ ὑπὲρ αὐτόν, τῆς δὲ τοῦ γένους αὐτοῦ ἀξίας, καὶ ἀπορῶν ποίας κληθείη ἀνήρ, ἐρώτησε ποίᾳ γυναικὶ χρήσαιτο· τοῦ δὲ εἰπόντος μέτει πρὸς τοὺς παῖδας τοὺς πλησίον ἡμῶν τοὺς βέμβικας παίζοντας, ὅ ἐστι στρόμβους, καὶ παρ' αὐτῶν μαθήσῃ ποίᾳ ἂν χρήσῃ γυναικί, ἀπελθὼν ἐκεῖνος καὶ ἀκούσας τῶν παίδων πρὸς ἀλλήλους λεγόντων τὴν κατὰ σαυτὸν ἔλα, τουτέστιν ἔλαυνε, καὶ τοῦ λόγου αἰσθόμενος τὴν μὲν πλουσιωτέραν ἀφῆκε, τῇ δὲ πενεστέρᾳ ἐχρήσατο γυναικί, ὡς τοῦ γένους αὐτοῦ ἀξίᾳ

ἢ] ὄντως   ἢ] ὄντως   σοφὸς] ἦν. | ὁ ἄνθρωπος ἐκεῖνος ἤγουν ὁ Πιττακός

[1] 887–893: colon 1 ἢ σοφὸς ἢ σοφὸς ὃς, 2 πρῶτος τόδ' ἐβάστασε καί, 3 γλώσσῃ διεμυθολόγησεν, 4 ὡς τὸ κηδεῦσαι καθ' ἑαυ — 5 τὸν ἀριστεύει μακρῷ, 6 καὶ μήτε τῶν πλούτῳ, 7 διαθρυπτομένων, 8 μήτε . . . μεγαλυνομένων, 9 = 893.

888 ἐβάστασε] ἐν τῷ νῷ, ἤγουν ἐνόησε

889 διεμυθολόγησεν] διὰ λόγου εἶπεν

890 ὡς] ὅτι   τὸ κηδεῦσαι] ἤγουν τὸ συγγένειαν ποιήσασθαί τινα   καθ' ἑαυτὸν] ἤγουν οἷος αὐτός ἐστι   ἀριστεύει] ἄριστόν ἐστι   μακρῷ] καταπολύ

891 διαθρυπτομένων] τρυφώντων, σοβούντων

892 τῶν γέννᾳ] ἤγουν τῶν εὐγενῶν   μεγαλυνομένων] ἐπαιρομένων καὶ μεγαλαυχούντων

893 χερνήταν] χειροτέχνην ἤτοι εὐτελῆ   ἐραστεῦσαι] ἐπιθυμῆσαι

Ἐραστεῦσαι ἤγουν ἐπιθυμῆσαι, ἐρασθῆναι. τοῦτο δὲ λέγει διὰ τὸ τὴν Ἰὼ ὁμιλῆσαι Διὶ τὰ ἐρωτικὰ καὶ διὰ τοῦτο ταῦτα παθοῦσαν

894 Ante vers. ἀντιστροφὴ κώλων θ'   μήποτε] μηδαμῶς

895 λεχέων] † ἤγουν ἐν λέχει κειμένην ἅμα τῷ Διί   εὐνάτειραν] σύγκοιτον

896 ἴδοισθε] † ἴδετε   πέλουσαν] ὑπάρχουσαν

897 πλαθείην] πελάσαιμι, πλησιάσαιμι   γαμέτᾳ] ἀνδρὶ   τινὶ — οὐρανοῦ] † ἤγουν τινὶ τῶν οὐρανίων θεῶν ἢ τῶν ἐξ Οὐρανοῦ καταγομένων

898 ταρβῶ] φοβοῦμαι   ἀστεργάνορα] ὃν οὐκ ἔστερξεν ὁ ἀνὴρ αὐτῆς Ζεύς

Ἡ σύνταξις οὕτω· ταρβῶ γὰρ καὶ φοβοῦμαι τὴν ἀστεργάνορα παρθενίαν τῆς Ἰοῦς, εἰσορῶσα αὐτὴν δαπτομένην καὶ δαμαζομένην ἐν τῷ γάμῳ τοῦ Διός. ἢ τὸ ἀστεργάνορα ἐπίθετον παρθενίας νοῶμεν. πᾶσα γὰρ παρθενία οὐ στέργει ἄνδρας· ἡ γὰρ μὴ πρὸς αὐτοὺς τὸ παράπαν συνάφεια οὐκ ἄλλο οὐδὲν ἢ παρθενία ἐστίν. ἢ πρὸς μὲν τὸ ταρβῶ ὑποστικτέον, πρὸς δὲ τὸ ὁρῶσα συναπτέον τὸ ἀστεργάνορα παρθενίαν

899 εἰσορῶσ'] βλέπουσα   γάμῳ] τοῦ Διός   δαπτομέναν] δαμαζομένην

900 δυσπλάνοις] κακῶς πλανώσαις   ἀλατείαις] πλάναις ἃς Ἰοῖ περιέβαλεν

901 Ante vers. ἐπῳδὸς κώλων θ'

ἡμέτερον † ἐμοί δ' ὅτι μέν: τῆς παρούσης ἐπῳδοῦ[1] τά κῶλα θ'. τὸ α' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ β' καὶ γ' καὶ δ' ποδὸς ἐκ χορείων. τὸ β^τερον^ παιωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ παιώνων δ^ων^ δύο καὶ ἰάμβου ἢ σπονδείου. τὸ γ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον καθαρόν. τὸ δ'

[1] 901–906: colon 1 = 901, 2 ἄφοβος οὐ δέδια μηδὲ κρεισ — 3 σόνων θεῶν ἔρως ἄφυ — 4 κτον . . . με, 5 ἀπόλεμος . . . πόλεμος, 6 ἐς ἄπορα πόριμος, 7 οὐδ' . . . γενοίμαν, 8 τὰν . . . μῆτιν, 9 ὅπα φύγοιμ' ἄν.

ὅμοιον καταληκτικὸν ἤτοι ἐφθημιμερές. τὸ ε' ὅμοιον ἐκ τριῶν χορείων καὶ συλλαβῆς. τὸ ς' ἰαμβικὸν ὅμοιον πενθημιμερές, ἐκ δύο χορείων καὶ συλλαβῆς. τὸ ζ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον καθαρόν. τὸ η' ὅμοιον δίμετρον ὑπερκατάληκτον. τὸ θ' ἰαμβικὸν πενθημιμερές. ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος

Supra vers. † ἤγουν λίαν ὑπάρχει ἐμοὶ ὁ ὁμαλὸς καὶ ἴσος γάμος ἄφοβος

902 οὐ δέδια] οὐ φοβοῦμαι τοῦτον τὸν ἴσον δηλονότι γάμον κρεισσόνων] † μειζόνων ἐμοῦ

903 ἄφυκτον] ὃ οὐδεὶς δύναται φυγεῖν προσδέρκοι] † προσίδοι, θεάσαιτο

Ἐς ἄπορα πόριμος· ἐφευρετικὸς μηχανῶν· ἔνθα γὰρ οὐ δύναταί τις εὑρεῖν μηχανήν, οἱ θεοὶ εὑρίσκουσιν ἐρῶντες. καὶ μαρτυρεῖ Ζεὺς χρυσὸς γενόμενος καὶ καταρρυεὶς ἀπὸ τοῦ τέγους πρὸς τὴν Ἀκρισίου Δανάην ἐντὸς οὖσαν πύργου χαλκοῦ. ὁ γὰρ πατὴρ αὐτῆς Ἀκρίσιος χρησμὸν λαβὼν ὡς ὁ γεννηθεὶς ἐκ τῆς θυγατρὸς αὐτοῦ καθελεῖ αὐτὸν τῆς ἀρχῆς, καθεῖρξε τὴν παῖδα

ἐς ἄπορα] εἰς ἀμήχανα πόριμος] πόρον καὶ μηχανὴν διδοὺς γενοίμαν] εἰ ὑπὸ Διὸς ἐρασθείην

906 μῆτιν] βουλήν ὅπα] ὅπου

907 † ἦ μὴν ἔτι Ζεύς: αἱ συστηματικαὶ αὗται περίοδοι, καὶ οἱ λοιποὶ ἀμοιβαῖοι στίχοι, ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι ρ'λγ', ὧν τελευταῖος "πείθου, σοφῷ γὰρ αἰσχρὸν ἐξαμαρτάνειν." ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς

ἦ] ὄντως ἔτι] εἰς τὸ ἑξῆς αὐθάδης] ὢν φρενῶν] ἕνεκα

908 ἔσται] γενήσεται οἷον] μέγαν ἐξαρτύεται] ἑτοιμάζεται, κατασκευάζει

909 ὃς] ὁ γάμος τυραννίδος] τῆς βασιλείας

910 τ'] καὶ ἄϊστον] ποταπόν; | ἀφανῆ τ'] καὶ

911 τότ' ἤδη] ἐκ παραλλήλου κρανθήσεται] τελεσθήσεται

912 ἐκπιτνῶν] ὑπ' αὐτοῦ ἐκπίπτων ἠρᾶτο] κατηρᾶτο αὐτῷ δηναιῶν] τῶν παλαιῶν καὶ ἀρχαίων

913 μόχθων] τῶν δυστυχιῶν ἐκτροπήν] ἐκφυγήν

914 δύναιτ'] δυνηθείη σαφῶς] ἀληθῶς

915 τάδ'] ἃ πείσεται ᾧ] ᾧτινι τρόπῳ] ἐκφύγῃ (first hand ἐκφύγοι) νῦν] δή

916 θαρσῶν] ἐπαιρόμενος καὶ κομπάζων τοῖς — κτύποις] τοῖς ὑψηλοῖς· ἤγουν ταῖς ἐν ὕψει ὑπ' αὐτοῦ γινομέναις βρονταῖς

917 πιστός] θαρσαλέος, βέβαιος τινάσσων] κινῶν πύρπνουν βέλος] τὸν πῦρ πνέοντα κεραυνόν

918 ταῦτ'] αἱ βρονταὶ καὶ ὁ κεραυνός ἐπαρκέσει] βοηθήσει μὴ οὐ] συνίζησις

919 ἀτίμως] † κακῶς καὶ μετὰ αἰσχύνης οὐκ ἀνασχετά] ὑπομονητὰ ἀλλ' ἀφόρητα

920 τοῖον] τοιοῦτον παλαιστὴν] † ἀντίμαχον παρασκευάζεται] † ἑτοιμάζει

921 ἐπ' αὐτὸς αὐτῷ] αὐτὸς ἐπ' αὐτῷ καθ' ὑπερβατὸν δυσμαχώτατον] δυσκαταγώνιστον

922 κρείσσον'] † ὑπερτέραν, πλέον τὸ καυστικὸν ἔχουσαν

923 Supra vers. † ἤγουν καὶ κτύπον εὑρήσοι ὑπερβάλλοντα καὶ νικῶντα τὸν καρτερὸν καὶ ἰσχυρὸν κτύπον τῆς βροντῆς

924 τινάκτειραν] ἥτις τὴν γῆν σείει νόσον] ἐκ πάθους γὰρ τ<οιοῦ-τοι> σεισμοὶ γίνο<νται>

925 Supra vers. ἤγουν κἂν τῷ Ποσειδῶνι βοηθῷ χρήσαιτο, οὐδ' οὗτος ἀνύσει τι σκεδᾷ] ἀφαν<ίσει>

926 πταίσας] προσκρούσας τῷδε] τῷ παλαιστῇ πρὸς] παρὰ κακῶν] † ὧν μέλλει πείσεσθαι

(τῷδε, πρὸς κακῶν:) Τὸ πρὸς κακῶν ἢ παρὰ τῶν κακῶν αὐτοῦ τουτέστι διὰ τὰ κακὰ αὐτοῦ· ἐμπέσῃ γὰρ ἂν τῇδε τῇ δυστυχίᾳ ἀπὸ τῆς κακίας αὐτοῦ. ἢ πρὸς τῶν κακῶν ἀντὶ τοῦ ἐκ τοῦ προσπταῖσαι καὶ δυστυχῆσαι καὶ τῆς ἀρχῆς ἐκπεσεῖν. πρὸς μὲν οὖν τὸ πρῶτον, ὑπόστιξον εἰς τὸ πρὸς κακῶν, πρὸς δὲ τὸ β^τερον^ εἰς τὸ τῷδε

927 ὅσον τό τ'] ἐστὶ κεχωρισμένον ἄρχειν καὶ τὸ δουλεύειν] ἤγουν τὸ εἶναί τινα ἄρχοντα καὶ τὸ εἶναι δοῦλον δίχα] κεχωρισμένον

928 θὴν] παραπληρωματικὸς σύνδεσμος τὸ θήν. | δή ἐπιγλωσσᾷ] καταβοᾷ

929 τελεῖται] τελεσθήσεται λέγω πρὸς] καὶ σὺν τούτῳ βούλομαι] θέλω

930 προσδοκᾶν] ἐλπίζειν τινὰ χρὴ] πρέπει Ζηνὸς] τοῦ Διός τινά] ἄλλον

931 τῶνδε] ὧν λέγω, ἢ ὧν ἐγὼ πάσχω δεικτικῶς δυσλοφωτέρους] ὑψηλοτέρους καὶ ἀφορητοτέρους

932 ταρβεῖς] εἰς φόβον πίπτεις τοιάδ'] ἤγουν τολμηρά ἐκρίπτων] † ἐκπέμπων ἀκρατῶς

933 ᾧ] ᾧτινι, ἐμοί οὐ μόρσιμον] οὐ μεμοιρασμένον

934 ἀλλ'] ἢν μὴ ἀποθάνῃς   ἆθλον] κάματον   τοῦδε] οὗ ἔχεις ἆθλον ἀλγίω] ἀλγεινότερον   πόροι] παράσχοι

935 ὅ δ'] ὁ Ζεύς   πάντα] ὅσα ἂν ποιήσῃ   προσδοκητά] ἐλπιστά

936 προσκυνοῦντες] † ἤγουν τιμῶντες καὶ σεβόμενοι   Ἀδράστειαν] † θεὰν τιμωρουμένην τοὺς ἀλαζόνας   σοφοί] εἰσίν

Ἀδράστεια θεὰ ἔφορος μέμψεως. λέγει οὖν ὡς οἱ μὴ μεμφθῆναι σπουδάζοντες φρόνιμοί εἰσιν. λέγοιτο δ' ἂν Ἀδράστεια ἀπὸ τοῦ ᾱ στερητικοῦ καὶ τοῦ διδράσκω, ἣν οὐδεὶς δύναται ἐκφυγεῖν, οὐδεὶς γὰρ ἄμεμπτος

937 σέβου] τίμα   θῶπτε] κολάκευε   τὸν κρατοῦντ'] τὸν ἄρχοντα

Τὸ ἀεὶ πρὸς τὸ σέβου, καὶ οὐ πρὸς τὸ κρατοῦντα. πῶς γὰρ ἔμελλε Προμηθεὺς κρατοῦντα ἀεὶ τὸν Δία λέγειν, ἐπεὶ τάχιστα τοῦτον ἐκπεσεῖν τῆς ἀρχῆς διατείνεται; εἰ δὲ καὶ πρὸς τὸ κρατοῦντα βούλει συνάψαι, ἐκδέξῃ τὸν λόγον κατ' εἰρωνείαν εἰρῆσθαι

938 ἔλασσον] † ὀλίγον   μηδὲν] οὐδέν   μέλει] † φροντίς ἐστι

939 δράτω] † πραττέτω ὃ βούλεται   κρατείτω] ἀρχέτω   τόνδε] κατὰ   τὸν βραχὺν] † τὸν ὀλίγον

940 ὅπως] ὥσπερ   δαρὸν] † ἐπιπολύ   ἄρξει] † ἄρχων ἔσται

Δέον θεῶν εἰπεῖν, θεοῖς εἶπεν Ὁμηρικῷ ζήλῳ   ἐκεῖνος γὰρ ἤνασσε τοῖς Ἀχαιοῖς λέγει.[1] ἔστι δὲ πλαγιασμός

941 ἀλλ'] τὸ ἀλλὰ πρὸς τὸ πάντως σύναπτε   τρόχιν] ἄγγελον

Τρόχιν λέγει τὸν ἄγγελον ἀπὸ τοῦ τρέχειν. δηλοῖ δὲ τὸν σπουδαῖον οἰκέτην τὸν σπουδαίως πράττοντα τὰ προσταττόμενα παρὰ τοῦ κυρίου αὐτοῦ

942 τοῦ τυράννου] τοῦ βασιλέως   τοῦ νέου] ἤγουν τοῦ Διός   διάκονον] ὑπηρέτην

943 πάντως] ἴσως ἢ ἀληθῶς   καινὸν] νέον   ἀγγελῶν] † μηνύσων ἐλήλυθεν] ἦλθεν

944 ἡμέτερον † σοφιστὴς ὁ ῥήτωρ, ὁ διδάσκαλος ὁ σοφίζων ἑτέρους, ὁ ἀπατεών, ὅθεν σοφιστὴν κακίας τὸν διάβολον λέγουσι, καὶ ὁ πλάσματά τινα γράφων, καὶ τὰ μὴ ὄντα ὡς ὄντα καὶ γεγονότα παριστῶν· τινὲς δὲ καὶ φιλοσόφους τοὺς πρὸς χάριν καὶ κατὰ ῥήτορας γράψαντας σοφιστὰς ὀνομάζουσιν, ὁποῖοί εἰσιν ὧν τοὺς βίους ἀναγράφει Φιλόστρατος

τὸν σοφιστὴν] τὸν σοφίαν ὑποκρινόμενον, ἢ ἀπατεῶνα   ὑπέρπικρον] † ἤγουν λίαν πικρόν

945 ἡμέροις] † ἤγουν τοῖς ἐφημέροις, τοῖς ἀνθρώποις

946 πορόντα] † παρασχόντα

[1] Homer does not use ἀνάσσειν with Ἀχαιοῖς. He has, however, Αἰτωλοῖσιν ἄνασσε N 218 and ἀρχεύειν Τρώεσσι E 200.

947 πατὴρ] ὁ Ζεύς   ἄνωγε] ἐκέλευσεν   σ'] τὸ σε πάλιν τέθεικεν ἐπαναλήψεως συνηθείᾳ   κομπεῖς] μετὰ κόπμου λέγεις

948 αὐδᾶν] λέγειν   πρὸς ὧν] καὶ ἐκείνους   ἐκπίπτει] ἤγουν ἐκπεσεῖται κατὰ ἀντιχρονισμόν

949 μέντοι] δὲ   αἰνικτηρίως] αἰνιγματωδῶς καὶ ἀσαφῶς

950 αὔθ' ἕκαστα] † αὐτὰ ἕκαστα· διὸ καὶ ὀξύνεται   φράζε] λέγε

Μηδέ μοι διπλᾶς ὁδούς: εἰ γὰρ ἀσαφῶς εἴποις, πέμψει με πάλιν πρὸς σὲ ὁ Ζεὺς ἵνα σαφῶς εἴπῃς

951 Προμηθεῦ] ὦ   προσβάλῃς] ἤγουν προξενήσῃς

952 τοιούτοις] τοῖς ἀσαφέσιν   μαλθακίζεται] ἀπατᾶται, χαυνοῦται, παράγεται

953 σεμνόστομος] κατ' εἰρωνείαν ὁ λόγος. | ἀντὶ τοῦ κενόδοξος καὶ οἰήσεως γέμων   φρονήματος] ἐπάρσεως   πλέως] πεπληρωμένος

954 ὁ μῦθος] ὁ λόγος τούτου   ὑπηρέτου] δούλου, ἀγγέλου

955 νέον νέοι] νεωστί· οὐ γὰρ ἀρχαία ὑμῖν ἡ βασιλεία   κρατεῖτε] ἄρχετε   δοκεῖτε] νομίζετε

956 'Επειδὴ ναίειν εἶπεν, ὁ δὲ ναίων ἐντὸς τείχους ναίει, διὰ τοῦτο πέργαμα εἶπε· λέγει δὲ τὸν οὐρανόν. πέργαμα γὰρ κυρίως λέγεται τὰ ὑψηλὰ τείχη, τουτέστι τὰ ὑπὲρ γῆν ὄντα καὶ εἰς ὕψος αἰρόμενα

ναίειν] οἰκεῖν   ἀπενθῆ] ποταπά; | δέον εἰπεῖν ἀπενθῶς, ὁ δὲ πρὸς τὸ πέργαμα τὴν σύνταξιν ἔτρεψεν   πέργαμ'] ἤγουν τὸν οὐρανόν

957 δισσοὺς] τὸν Οὐρανὸν καὶ τὸν Κρόνον   τυράννους] βασιλεῖς

ᾐσθόμην] ἤγουν ἔγνων, εἶδον

958 κοιρανοῦντ'] βασιλεύοντα   ἐπόψομαι] ἐκπεσόντα ἴδω

959 αἴσχιστα καὶ τάχιστα] † ἤγουν ἀτίμως καὶ ταχέως   μή] μὴ ἆρα

960 ταρβεῖν] φοβεῖσθαι   ὑποπτήσσειν] ὑποστέλλεσθαι   τοὺς νέους θεούς] ἤγουν τὸν Δία καὶ τοὺς σὺν αὐτῷ

961 πολλοῦ] μέρους   τοῦ παντὸς] † ἤγουν οὐδαμῶς φοβοῦμαι τούτους

962 κέλευθον] ὁδόν   ἐγκόνει] † ἤγουν σπουδαίως τρέχε

963 πεύσῃ] μαθήσῃ ἄν· ἐνταῦθα γὰρ τὸ ἂν σύναπτε (the verse has ἂν ἱστορεῖς)   ἱστορεῖς] ἐρωτᾷς

'Ιστορῶ τὸ ἐρωτῶ, ὡς ἐνταῦθα· τὸ ἱστορίαν τινὰ διηγοῦμαι· καὶ τὸ βλέπω, ὡς παρ' Εὐριπίδῃ· "οἶμαι δὲ πατέρα τὸν ἐμὸν εἰ κατ' ὄμματα ἐξιστόρουν" (Ores. 288)

964 τοιοῖσδε] τοιούτοις   καὶ πρίν] ὅτε τὸ πῦρ κέκλοφας   αὐθαδίσμασιν] κομπάσμασιν· ἔλεγες γὰρ ὡς δικαίως κέκλοφας

965 *τάσδε*] *ἐν αἷς νῦν τυγχάνεις* *πημονὰς*] *βλάβας, τιμωρίας* *καθώρμισας*] † *ὥσπερ εἰς λιμένα τινὰ ἐνέβαλες*

966 Τῆς σῆς λατρείας: *τουτέστιν οὐκ ἐθελήσω τῷ Διὶ λατρεύειν ὥσπερ σὺ ἢ πάσχειν οὕτω κακῶς. τοῦτο δὲ διὰ τῆς κατασκευῆς δῆλον ποιεῖ. ἐπὶ τοῦ ἀλλάττω δὲ οὐ μόνον τὸ διδόμενόν ἐστι γενικὴ καὶ τὸ λαμβανόμενον αἰτιατική, ἀλλὰ καὶ τοὔμπαλιν, ὡς κἀνταῦθα, καὶ παρ' Ὁμήρῳ· χρύσεα χαλκείων* (Z 236) *ἠλλάξατο. ἐκεῖ γὰρ ὁ Γλαῦκος χρύσεα δοὺς χάλκεα ἔλαβεν*

λατρείας] *δουλείας* *δυσπραξίαν*] † *ἤγουν τὴν τιμωρίαν*

967 *ἐπίστασ'*] *γίνωσκε* *ἀλλάξαιμ'*] *ἀντιδοίην*

968 *κρεῖσσον*] *ἐστὶν* *οἶμαι*] *ὑπολαμβάνω* *λατρεύειν*] *δουλεύειν ἤγουν προσταλαιπωρεῖν*

969 *φῆναι*] † *φανῆναι* *πιστὸν*] † *βέβαιον* *ἄγγελον*] † *ἤγουν ὑπηρέτην*

970 Οὕτως ὑβρίζειν: *ἢ τὸν Ἑρμῆν λέγει, οὗτος γὰρ πρόσθεν τοῦτον ὑβρίσας τοιαῦτα παρ' αὐτοῦ ἤκουσεν, ἢ ὑβρίζοντας λέγει πληθυντικῶς τὸν Δία, ἢ εἰ βούλει γε ἀμφοτέρους· διὸ καὶ πληθυντικῶς εἴρηται καὶ ἀμφοτέρων γὰρ ὕβριν ὁ λόγος ἔχει, τοῦ μέν, ὡς δούλου, τοῦ δέ, ὡς οὐκ ἀξίου ὄντος πιστοὺς ὑπηρέτας ἔχειν* *χρεὼν*] *πρέπον*

971 *χλιδᾶν*] *τρυφᾶν καὶ εἰς οὐδὲν ταῦτα λογίζεσθαι* *τοῖς παροῦσι πράγμασιν*] *ἤγουν ταῖς προσούσαις σοι νῦν δυστυχίαις*

972 *χλιδῶντας*] *τρυφῶντας* *ὧδε*] *οὕτως*

974 *ἦ*] *ἆρα* *συμφοραῖς*] *αἷς πάσχεις* *ἐπαιτιᾷ*] *ἐπὶ τούτοις αἰτιᾷ*

975 *ἁπλῷ*] *σαφεῖ* *ἐχθαίρω*] *μισῶ*

976 *παθόντες*] *παρ' ἐμοῦ* *κακοῦσι*] *κακοποιοῦσι* *ἐκδίκως*] *ἀδίκως*

977 Εἰκότως *εἶπε τὸ κλύω καὶ οὐχ ὁρῶ· ἀκούσας γὰρ αὐτοῦ ἀπαιδεύτους λόγους κατὰ τῶν θεῶν προάγοντος ἐνταῦθα τουτὶ συνεπέρανεν* *κλύω*] *αἰσθάνομαι* *μεμηνότ'*] *μαινόμενον* *οὐ μικρὰν*] *ἀλλὰ μεγάλην*

978 *νόσημ'*] *ἐστί* *στυγεῖν*] *μισεῖν*

979 Εἴης φορητός: *ἤγουν εἰ τοσούτοις κακοῖς συνὼν θρασύνῃ, τί ποτ' ἂν ἔδρασας εὐτυχῶν* *εἴης*] *οὐκ ἂν εἴης* *εἰ πράσσοις*] *ἤγουν ἔπραττες*

980 *τόδε*] *τὸ οἴμοι* *οὐκ ἐπίσταται*] *οὐ γινώσκει*

981 *ἐκδιδάσκει*] *ὥστε κἀκεῖνος τοῦτο μαθήσεται* *ὁ γηράσκων*] † *ὁ παλαιούμενος*

982 Οὔπω σωφρονεῖν ἐπίστασαι: *ἐπειδὴ δυστυχῶν οὐχ ὑποκλίνῃ ταῖς συμφοραῖς, ἀλλὰ τοῦ Διὸς καταφέρῃ, ὥσπερ οὐκ εἰδὼς ὅτι σοῦ μεῖζον ἰσχύει*

σύ γ' οὔπω] *ἤγουν πολλῶν ἐτῶν ὢν οὐδέπω ἐφρόνησας* *ἐπίστασαι*] *γινώσκεις*

983 *γὰρ*] *εἰκότως λέγεις* *προσηύδων*] *ἤγουν προσεφώνουν* *ὑπηρέτην*] *δοῦλον*

984 *ἔοικας*] *φαίνῃ* *πατήρ*] *ἤγουν ὁ Ζεύς*

985 Καὶ *μὴν ὀφείλων*: *εἰπόντος τοῦ Ἑρμοῦ πρὸς τὸν Προμηθέα ὡς ἔοικας οὐδὲν ἐρεῖν ὧν χρῄζει πατήρ, οὗτος εἰρωνευόμενός φησι πρὸς αὐτόν, καὶ μὴν ὀφείλων καὶ χρεωστῶν αὐτῷ χάριν τίνοιμι ἂν καὶ ἀνταποδοίην· ὅπερ ὁ Ἑρμῆς γνοὺς ἐν εἰρωνείᾳ ῥηθέν, οὐ γὰρ ὤφειλε Προμηθεὺς οὐδοτιοῦν τῷ Διί, αἰτιᾶται τοῦτον κερτομήσαντα καὶ εἰρωνευσάμενον αὐτὸν ὡς παῖδα, ὥσπερ ἂν εἰ μηδὲν ἐπῄσθετο ὅτι ψεύδεται. τινὲς δὲ τὸ παῖδα ἀντὶ τοῦ δοῦλον νοοῦσιν, ἵν' ᾖ ὁ λόγος διὰ τὴν τοῦ Ἑρμοῦ δουλείαν, ὅτι σὺ μὲν ὡς δοῦλος πάντα ὀφείλεις ὑπηρετεῖν αὐτῷ, ἐγὼ δὲ οὔ. ὅπερ ἐξελέγχεται διὰ τῆς τοῦ Προμηθέως κατασκευῆς*

καὶ μὴν] *ἐν εἰρωνείᾳ ὁ λόγος* *ὀφείλων*] *χρεωστῶν* *τίνοιμ'*] *ἀποδοίην*

986 *ἐκερτόμησας*] *ὠνείδισας* *δῆθ'*] *τάχα* *παῖδ'*] *νήπιον, νέον*

987 *οὐ γὰρ*] *ναὶ* *παῖς*] *νήπιος* *τοῦδ'*] *τοῦ νηπίου* *ἀνούστερος*] *ἀνοητότερος*

988 *προσδοκᾷς*] *ἐλπίζεις* *πευσεῖσθαι*] *μαθεῖν*

989 *αἴκισμ'*] *κόλασις*

990 *προτρέψεται*] *παρακινήσει* *γεγωνῆσαι*] *εἰπεῖν*

991 *πρὶν ἂν*] *ἤγουν πρὶν ἂν τοῦ προσόντος ἐμοὶ δεσμοῦ ἐκλυθῶ*

992 *πρὸς ταῦτα*] *ἤγουν διὰ ταῦτα* *αἰθάλουσα φλόξ*] *καυστικός, ἤγουν ἀστραπαί τε καὶ κεραυνός*

993 *λευκοπτέρῳ*] *ἤγουν λευκῇ* *νιφάδι*] *χιόνι* *βροντήμασιν*] *ἤγουν σεισμοῖς*

Ἐπειδὴ αἱ βρονταὶ ἄνωθεν γίνονται ῥηγνυμένων νεφῶν, διὰ τοῦτο βροντήμασι χθονίοις εἶπεν, ἀντὶ τοῦ τῷ τὴν γῆν κινοῦντι σεισμῷ

994 *κυκάτω*] *ὁ Ζεύς* *καὶ ταρασσέτω*] *ἐκ παραλλήλου*

995 *γνάμψει*] *ἐπικλάσει, ἀλλάξει* *τῶνδε*] *τῶν βροντῶν καὶ σεισμῶν* *φράσαι*] *εἰπεῖν αὐτῷ*

996 *πρὸς οὗ*] *παρ' οὕτινος* *χρεών*] *ἀποκείμενον* *ἐκπεσεῖν*] *ἐκβληθῆναι* *τυραννίδος*] *τῆς βασιλείας*

997 *ὅρα*] *βλέπε* *νῦν*] *δή* *ταῦτ'*] *ἃ φής* *ἀρωγά*] *βοηθοῦντα, ὠφέλημα· κερδαίνεις γὰρ οὐδὲν ταῦτα λέγων*

998 *ὦπται*] *τεθέαται* *πάλαι*] *ἐξ ἀρχῆς* *τάδε*] *ὅτι οὐδὲν ὠφελοῦμαι ἐκ λόγων*

1000 *τὰς παρούσας πημονὰς*] † *ἤγουν ἀφ' ὧν πάσχεις κακῶν μάθε φρονεῖν*

1001 *ὀχλῆς*] *ἐνοχλεῖς* *ὅπως*] *ὥσπερ* *παρηγορῶν*] *παρ' ἃ φρονῶ πείθειν ἐπιχειρῶν*

Κῦμ' *ὅπως παρηγορῶν*: *ἤγουν ὥσπερ παρὰ κῦμα ἀγορεύων καὶ λέγων. παροιμία γάρ ἐστιν, ὥσπερ εἰς κῦμα λαλῶν, ἐπὶ τῶν ἀναισθήτως ἐχόντων. ὡς γὰρ κῦμα προσκροῦον ἀεὶ παραλίαις πέτραις οὐδὲν ἀνύει ἀλλὰ μάτην πονεῖ, οὕτως οὐδ' αὐτός, φησίν, ὀχλῶν μοι ἀνύσεις τι ὥστε ἃ χρῄζεις ἀκοῦσαι*

1002 Supra vers. † *ἤγουν ἐννόησον ὡς οὐδέπω ἐγὼ θηλυνθῶ φοβηθείς*

1003 *γνώμην*] † *ἐπεὶ σκληρός ἐστι* *θηλύνους*] *θῆλυς τὸν νοῦν, ἤγουν μαλακὸς καὶ ὑπείκων αὐτῷ*

1004 *λιπαρήσω*] *παρακαλέσω* *τὸν μέγα*] *τὸν μεγάλως* *στυγούμενον*] *μισούμενον ὑπ' ἐμοῦ*

1005 *γυναικομίμοις*] *γυναῖκα μιμουμένοις* *ὑπτιάσμασιν*] *ἤγουν ἐκτάσεσιν ὑπτίαις χειρῶν*

1006 *δέω*] *ἐλλείπω*

1007 Λέγων ἔοικα: *τουτέστιν ἐπειδὴ οὐ πείθῃ τοῖς ἐμοῖς λόγοις, φαίνομαι καὶ ἄλλα πολλὰ λέγων ματαίως καὶ ἀνοήτως λέξειν* *ἔοικα*] *φαίνομαι* *ἐρεῖν*] *λέξειν*

1008 Supra vers. † *ἤγουν ἐνδίδως ὥσπερ τὰ ὑπὸ ὕδατος μαλθακιζόμενα σκληρὰ* *οὐδὲν*] *οὐδαμῶς* *λιταῖς*] *ταῖς ἐμαῖς παρακλήσεσιν*

1009 *στόμιον*] *τὸν χαλινόν* *νεοζυγὴς*] *νεωστὶ ὑπελθὼν τῷ ζυγῷ*

1010 *πῶλος*] *ἡμίονος, ἵππος* *βιάζῃ*] † *ἤγουν βίᾳ ἥκεις* *ἡνίας*] *ἤγουν τὴν ἰσχὺν τοῦ Διός*

1011 *ἀτὰρ*] *δὲ* *σφοδρύνῃ*] *θρασύνῃ, κομπάζεις* *ἀσθενεῖ*] *ἀδυνάτῳ* *σοφίσματι*] *ψευδεῖ ἀπάτῃ ἣν περὶ Διὸς λέγεις*

1012 Ante vers. *γνωμικόν* *αὐθαδία*] *ἡ ἀλαζονία* *φρονοῦντι μὴ καλῶς*] *ἤγουν τῷ ἄφρονι*

1013 *αὐτὴ καθ' αὑτὴν*] † *ἐὰν μὴ καὶ ἔξωθεν προσλάβῃ ἰσχὺν πρὸς δυνατοῦ τινος* *σθένει*] *δύναται*

1014 *σκέψαι*] † *ἐννόησον, σκόπει* *ἐμοῖς πεισθῇς λόγοις*] *ὥστε εἰπεῖν ἅπερ βούλεται ὁ Ζεύς*

1015 *χειμὼν*] *ζάλη καὶ ταραχή* *τρικυμία*] *ἤγουν κλύδων*

1016 *ἔπεισ'*] *ἐπελεύσεται, καταλήψεται* *ἄφυκτος*] *ἣν οὐ δυνήσῃ ἐκφυγεῖν* *ὀκρίδα*] *τραχεῖαν καὶ χαλεπήν*

1017 φάραγγα] † ἤγουν τὸ ὄρος   κεραυνίᾳ φλόγὶ] † ἤγουν κεραυνῷ

1018 πατὴρ] ὁ Ζεύς   σπαράξει] † διαρρήξει   τήνδε] † ἐν ᾗ δέδεσαι   δέμας] τὸ σὸν σῶμα

1019 ἀγκάλη] τὸ κοίλωμα· ἤγουν ἐντὸς αὐτῆς κρυβήσῃ   βαστάσει] ἤγουν δέξεται

1020 μακρὸν δὲ μῆκος] ἤγουν πολύ· τουτέστι πολλοὺς χρόνους   ἐκτελευτήσας] ἐκτελέσας ἐντός

1021 ἄψορρον] ὀπισθορμήτως   εἰς φάος] εἰς τὸ φῶς

1022 Ὁ ἀετὸς ἀνάκειται τῷ Διὶ ὡς ζῶον βασιλικόν· κύνα δὲ αὐτὸν λέγει διὰ τὸ ἁρπακτικόν, ἢ διότι ἀναιδῶς ἔμελλε τῷ Προμηθεῖ ἐπιτίθεσθαι. ὃν ἐτόξευσεν Ἡρακλῆς ὅτε τὸν περὶ τῶν μήλων ἆθλον ἐπόνει, ὅς ἐνδέκατος ἦν αὐτῷ. ἴσθι δὲ ὡς διὰ πάσης τῆς ἡμέρας τὸ Προμηθέως ἧπαρ τῷ ἀετῷ βιβρωσκόμενον, ἀνεπληροῦτο πάλιν ἐν νυκτὶ καὶ ἄρτιον ἦν. ἄρταμος δέ ἐστι κυρίως ὁ δαιτρὸς ὁ τὰ ἄρτια καὶ ὁλόκληρα τέμνων, καὶ ἀπὸ τούτου διαρταμέω διαρταμῶ τὸ τέμνω καὶ κατακόπτω

πτηνὸς] † πετόμενος οὐχὶ πεζός   δαφοινὸς] λίαν φονικός   λάβρος] λίαν βαρὺς καὶ μάργος

1023 διαρταμήσει] κατακόψει, ῥήξει   σώματος] τοῦ σοῦ   ῥάκος μέγα] † ἤγουν τὸ δέρμα τοῦ μεγάλου σώματος

1024 ἄκλητος] † αὐθόρμητος   ἕρπων] † ἐρχόμενος   δαιταλεὺς] δαιτυμών   πανήμερος] ἤγουν διὰ πάσης τῆς ἡμέρας

1025 κελαινόβρωτον] ἤγουν τὸ μέλαν   ἧπαρ] τὸ σὸν   ἐκθοινήσεται] καταφάγοι

1026 τοιοῦδε μόχθου] τῆς τοιαύτης δυστυχίας   τέρμα] τέλος   μήτοι] μηδαμῶς   προσδόκα] ἔλπιζε

Μήτοι προσδόκα: ἤγουν μὴ ἀπαλλαγὴν ἔλπιζε τῆς συμφορᾶς, εἰ μή τις τῶν θεῶν θελήσει κινδυνεῦσαι, βουλόμενος ἀπαλλάξαι σε τῶν κακῶν. τοῦτο δὲ οὐδέποτε ἔσται, ὥστ' οὐδ' (ὡς τοῦδ' ?) αὐτός, εὖ ἴσθι, λελύσῃ

1027 Supra vers. † ἤγουν πρὶν ἄν τις τῶν θεῶν διαδέξηται τὴν σὴν τιμωρίαν· ὃ οὐκ ἂν γένοιτό ποτε

1028 εἰς ἀναύγητον] ἤγουν εἰς τὸν σκοτεινὸν καὶ μὴ αὐγήν τινα ἔχοντα φωτός.   μολεῖν] ἐλθεῖν

1029 κνεφαῖα] σκοτεινά   ἀμφὶ Ταρτάρου βάθη] ἤγουν εἰς τὸν βαθὺν Τάρταρον

1030 πρὸς ταῦτα] † ἤγουν διὰ ταῦτα   βούλευ'] σκόπει τὰ συμφέροντά σοι   ὡς] ὅτι   πεπλασμένος] ἤγουν ψευδής

1031 Τὸ κόμπος εἶπε κατὰ τὴν τοῦ Προμηθέως δόξαν· ᾤετο γὰρ Ἑρμῆν μάτην πρὸς αὐτὸν ταῦτα κομπάζειν   ὁ κόμπος] † ἤγουν οἱ μετὰ κόμπου λόγοι   λίαν γ' εἰρημένος] ἤγουν ἀληθὴς καὶ οὐ μάταιος

1032 ψευδηγορεῖν] ψευδῆ λέγειν· ἐκεῖνος γὰρ προσέταξέ μοι ταῦτά σοι φάναι

1033 τὸ Δῖον] † τὸ τοῦ Διός, ἤγουν ὁ Ζεύς   πᾶν ἔπος] † ἤγουν πάντα λόγον ὃν ἂν εἴποι   τελεῖ] † πληροῖ, ὥστε τελέσαι καὶ ἃ κατὰ σοῦ εἴρηκεν

1034 πάπταινε] σκόπει   φρόντιζε] τοῦ λυσιτελοῦντος   αὐθαδίαν] ἀλαζονείαν. | Ἰωνικόν

1035 ἄμεινον] βέλτιον πρᾶγμα   ἡγήσῃ] λογίσῃ

1036 Ἑρμῆς] ὁ   οὐκ ἄκαιρα] ἀλλ' ἔγκαιρα καὶ ἀναγκαῖα

1037 ἄνωγε] ἤγουν εἶπεν   τὴν αὐθαδίαν] † τὴν ἀλαζονείαν καὶ ἀπείθειαν

1038 μεθέντ'] † ἀφέντα   ἐρευνᾶν] ζητεῖν   τὴν σοφὴν εὐβουλίαν] † τὴν φρόνιμον· φρόνησις γάρ ἐστι τὸ καλῶς βουλεύεσθαι.

1039 Ante vers. γνωμικόν   πείθου] καταπείσθητι   σοφῷ] οἷος αὐτὸς εἶ   αἰσχρὸν] † ὃ κοινῶς λέγουσιν ἄσχημον   ἁμαρτάνειν] † ἤγουν μὴ καλῶς βουλεύεσθαι

1040 ἡμέτερα † εἰδότι τοί μοι: ἡ συστηματικὴ αὕτη ἔκθεσις τοῦ δράματος κώλων ἐστὶν ἀναπαιστικῶν νϛ', ὧν τὰ μέν εἰσι δίμετρα ἀκατάληκτα, τὸ θ',[1] τὸ ιδ', τὸ λα', τὸ λε', τὸ μ', καὶ τὸ μδ' μονόμετρα, τὰ δὲ τῶν ἀποθέσεων δίμετρα καταληκτικά, ἤτοι ἑφθημιμερῆ, ὧν τελευταῖος καὶ παντὸς τοῦ δράματος, "ἐσορᾷς μ' ὡς ἔκδικα πάσχω". ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνὶς ἡ καὶ τὸ δρᾶμα περατοῦσα καὶ οἷον ἐπισφραγίζουσα   εἰδότι] † γινώσκοντι   τάσδ' ἀγγελίας] † τὰ τοῦ Διὸς προστάγματα

1041 ἐθώυξεν] † ἀγρίως καὶ αὐθαδῶς εἶπεν

1042 ἐχθρὸν ὑπ' ἐχθρῶν] † ὡς ἐγὼ παρὰ τοῦ Διός   ἀεικές] † ἀπρεπές

1043 πρὸς ταῦτ'] † διὰ ταῦτα

1044 ἀμφήκης] διόλου καυστικός

† ἀπὸ μεταφορᾶς τῶν ἀμφοτέρωθεν ἠκονημένων ξιφῶν. ἀμφήκη τὸν κεραυνὸν εἶπεν, ὡς ἀμφοτέρωθεν καίοντα. μεταφορικῶς δὲ καὶ βόστρυχον λέγει διὰ τὸ δίκην βοστρύχου πίπτειν τὸν κεραυνόν. σφάκελος δέ ἐστι κυρίως ὁ

[1] 1048 ff.: colon 9 κῦμα δὲ πόντου, 10 τραχεῖ . . . συγχώσειεν, 11 τῶν . . . διόδους, 12 ἐς . . . ἄρδην, 13 ῥίψειε . . . ἀνάγκης, 14 στερραῖς δίναις, 15 = 1053. 1073 ff.: colon 35 μέμψησθε τύχην, 36 μηδ' . . . ὑμᾶς, 37 εἰς . . . εἰσέβαλεν, 38 μὴ . . . αὐτάς, 39 εἰδυῖαι . . . ἐξαίφνης, 40 οὐδὲ λαθραίως, 41 εἰς . . . ἄτης, 42 = 1079.

σπασμὸς τοῦ ἐγκεφάλου, ἐξ οὗ καὶ σφακελισμὸς ἡ παραπληξία   αἰθήρ] ὁ ἀήρ

1045 *ἐρεθιζέσθω] κινείσθω   σφακέλῳ] συστροφῇ καὶ ταραγμῷ*

1046 *χθόνα] τὴν γῆν   πυθμένων] τῶν θεμελίων*

1047 *αὐταῖς] σὺν   πνεῦμα] ἄνεμος   κραδαίνοι] ἤγουν κραδαινέτω καὶ κινείτω*

1048 *πόντου] τῆς θαλάσσης   τραχεῖ] σφοδρῷ   ῥοθίῳ] ῥεύματι*

1049 *συγχώσειεν] συγχωσάτω ἐμέ*

1050 *διόδους] εἰς τὰς διεξόδους, τὰς πορείας   κελαινὸν] σκοτεινόν*

1051 *ἄρδην] ὁμοῦ   ῥίψειε] ῥιψάτω*

1052 *στερραῖς] ἰσχυραῖς, βιαίαις   δίναις] συστροφαῖς*

† *εἰώθασιν οἱ πρὸς τὰ ἄνω τι ῥίψειν βουλόμενοι τοῦτο περιδινεῖν καὶ περιστρέφειν πρῶτον ἐν ταῖς χερσίν, εἶτ' ἀφιέναι, ὡς ἂν εἰς ὅσον ἔξεστιν ὕψος ἀνελθὸν ἀξίαν ὑποσταίη τὴν πτῶσιν. τοῦτο γοῦν κἀνταῦθα, φησί, περιδινήσας τοὐμὸν σῶμα, ῥιψάτω ἐν ἰσχυραῖς ἀνάγκαις εἰς οὐρανὸν ὁμοῦ καὶ εἰς τὸν* Τάρταρον. *διὰ τοῦτο δὲ* Τάρταρον *εἶπεν, ἐπεὶ εἰ πρὸς οὐρανὸν αὐτὸν ἔρριψεν ἀνάλογον ἂν καὶ τὴν πτῶσιν ὑπέστη, οὐ μόνον τῷ ὕψει τοῦ οὐρανοῦ ἀλλὰ καὶ τῇ δυνάμει τοῦ ῥίψαντος*

1053 *πάντως] † ἀληθῶς   οὐ θανατώσει] † ἀθάνατος γάρ εἰμι*

1054 *τοιάδε μέντοι] τῶν μὲν φρονίμων καλοὺς ἂν ἀκούσαις λόγους   μέντοι] δὲ   φρενοπλήκτων] τῶν τὰς φρένας πληγέντων, τῶν μανικῶν*

1055 *τ'] καὶ*

1056 *τί γὰρ] ἤγουν οὐδέν   παραπαίειν] μαίνεσθαι αὐτόν*

1057 *ἡμέτερον* † *ἢν τοῦδ' ἀτυχῇ: τοῦτο οὕτως εἴποις· ἢν ἀτυχῇ ὁ* Προμηθεὺς *δηλονότι τοῦδε, ἤγουν τοῦ μὴ παραπαίειν. πρὸς γὰρ τὸν χορὸν ποιεῖται τὸν λόγον, τί τῶν μανιῶν χαλᾷ καὶ ἐνδίδωσιν· οὐδὲν δηλονότι· ἤγουν εἰ μὴ μαινόμενός ἐστιν ἀλλὰ σωφρονεῖ, τί δῆτα οὐκ ἐνδίδωσι τῆς μανίας, ἀλλὰ τοιαῦτα οἷα οἱ μαινόμενοι φθέγγεται ἀντιστάμενος πρὸς τὸν* Δία. *οἱ δὲ γράφοντες εἰ τάδ' εὐτυχῇ, οὐκ ἴσασιν, οἶμαι, τὰ περὶ τῶν μέτρων. εἴρηκε δὲ τοῦτ' ἀσυνδέτως ὡς ἔστιν ἔθος αὐτῷ. ὅτι δὲ πρὸς τὸν χορὸν ποιεῖται τὸν λόγον, δηλοῖ τὸ ἑξῆς*

τοῦδ'] † τοῦ μὴ παραπαίειν   ἀτυχῇ] † οὗτος   χαλᾷ] † ἐνδίδωσιν   μανιῶν] † ἤγουν οὐδέν

1058 *ὑμεῖς] οἱ τοῦ χοροῦ   πημοσύναις] δυστυχίαις*

1059 *συγκάμνουσαι] † συμπονοῦσαι   τόπων] ἐκ τῶν τόπων τῶνδε*

1060 *μετά που χωρεῖτ'] μεταχωρεῖτε· εἰκότως δὲ πεποίηκε τὸ ὑπερβατὸν κίνησιν παρεγγυώμενος καὶ μετανάστασιν τῷ χορῷ   θοῶς] ταχέως*

1061 *μὴ*] † *ἵνα μή* *ἠλιθιώσῃ*] *εἰς ἀναισθησίαν ἄξῃ*

1062 *μύκημ'*] *κτύπος* *ἀτέραμνον*] *σκληρὸν καὶ σφοδρόν*

1063 *φώνει*] *λέγε* *παραμυθοῦ*] *παράπειθε*

1064 *πείσεις*] *καταπείσεις ἐμέ*

1065 *τλητὸν*] *ἀνεκτὸν ἡμῖν· οὐ γὰρ καταλείψω αὐτόν* *παρέσυρας*] *ἐξήνεγκας, παρεσύρης εἰπεῖν*

1066 *κακότητ'*] *κακίαν· τὸ γὰρ προδιδόναι τοὺς φίλους εἰς τοῦτο φέρει*

1067 *τοῦδ'*] † *τοῦ Προμηθέως* *χρὴ*] *ἀπόκειται τούτῳ*

1068 Ante vers. *γνωμικόν* *προδότας*] *τῶν φίλων* *ἔμαθον*] † *ἐδιδάχθην παρὰ τῶν οὕτω φρονούντων*

1069 *νόσος*] † *νόσημα γὰρ ψυχῆς ἐστι τοῦτο αἴσχιστον*

1070 *τῆσδ'*] *τῆς προδοσίας* *ἀπέπτυσα*] † *ἀπεβαλόμην· ἐκ μεταφορᾶς τῶν ἀποπτυόντων τὸν ἐν τῷ στόματι σίελον*

1071 *ἄτ'*] † *ἅτε ἤγουν ἅπερ*

1072 *πρὸς ἄτης*] *ἤγουν μὴ βλάβην σχοῦσαι* *θηραθεῖσαι*] † *ἀγρευθεῖσαι*

1073 *τύχην*] *τὴν θεάν* *ποτ'*] *ἄρα*

1074 *ὡς*] *ὅτι* *Ζεὺς*] *ὁ* *ἀπρόοπτον*] *ἄσκοπον, ἀνέλπιστον*

1075 *εἰσέβαλεν*] † *ἐκ παραλλήλου τὰ εἰς* *μὴ δῆτ'*] *μηδαμῶς εἴπητε τοῦτο*

1076 *ὑμᾶς αὐτὰς*] *ἐμβαλεῖτε* *εἰδυῖαι*] † *γινώσκουσαι*

1077 *ἐξαίφνης*] † *ἀφανῶς, ἀπροσδοκήτως* *λαθραίως*] † *κεκρυμμένως*

1078 *ἀπέραντον*] *ἀτελές, ἀδιεξόδευτον* *δίκτυον*] † *ἤγουν περιπλοκήν*

1079 *ἐμπλεχθήσεσθ'*] † *περιπλακήσεσθε* *ἀνοίας*] *μωρίας ὑμῶν*

1080 Post vers. *ἐπίλογος* *μύθῳ*] † *λόγῳ τῷ τοῦ Ἑρμοῦ*

1081 *χθὼν*] *ἡ γῆ* *σεσάλευται*] † *κινεῖται*

1082 *βρυχία*] *ἠχητική* *παραμυκᾶται*] † *ἤγουν μύκημα βροντῆς ἠχεῖ*

1083 *ἕλικες*] *συστροφαί*

1084 *στεροπῆς*] *ἀστραπῆς* *ζάπυροι*] *λίαν καυστικαί* *στρόμβοι*] *στροφαὶ ἀνέμων*

1085 *ἑλίσσουσι*] *συστρέφουσι* *σκιρτᾷ*] *κινεῖται* *ἀνέμων*] † *ἤγουν ἄνεμοι*

1086 *πνεύματα*] *πνοαί*

1087 *στάσιν*] *μάχην, ταραχήν* *ἀντίπνουν*] *ἐναντίαν ἀλλήλοις* *ἐνδεικνύμενα*] *ἤγουν ποιοῦντα*

1088 *ξυντετάρακται*] *σὺν τῷ πόντῳ* *αἰθὴρ*] *ὁ ἀήρ* *πόντῳ*] *τῇ θαλάσσῃ*

1089 *τοιάδ'*] *τοιαύτη* *ῥιπῇ*] *ὁρμή* *Διόθεν*] *ἐκ Διός*

1090 *τεύχουσα*] *κατασκευάζουσα* *στείχει*] *ἔρχεται ἢ ἦλθε*

1091 *μητρὸς ἐμῆς σέβας*] *ἤγουν ὦ σεβασμία μῆτερ Θέμις ἡμέτερον* † *οἱ προστιθέντες ἐνταῦθα τὸ Θέμι καὶ λέγοντες ὦ πάντων Θέμι, οὐ καλῶς προστιθέασι· διὸ περισσὸν ὂν ἐξεβλήθη παρ' ἐμοῦ. χρὴ δὲ λέγειν οὕτως· ὦ αἰθὴρ ὁ εἱλίσσων καὶ συστρέφων τὸ κοινὸν πάντων φῶς, τουτέστι τὸν ἥλιον, ὁρᾷς ἃ πάσχω; ἀναχωρησάντων δὲ πάντων πρὸς τὸν αἰθέρα ὡς καὶ ἐν ἀρχῇ ποιεῖται τὸν λόγον*

1092 *αἰθὴρ*] *ὁ ἀήρ* *κοινὸν φάος*] † *τὸ κοινὸν πάντων φῶς ἤγουν τὸν ἥλιον* *εἱλίσσων*] *στρέφων διὰ τῆς τοῦ οὐρανοῦ φορᾶς*

1093 *ἐσορᾷς*] † *ὁρᾷς* *ὡς*] *ὅτι* *ἔκδικα*] † *ἔξω τοῦ δικαίου ἤγουν ἄδικα*

I have not hesitated to include all the glosses in the above transcript, needless and wearisome as their explanations often are. But such glosses form a constituent factor in the history of Greek lexicography: they are often of value in the study of the relation of the vocabulary of prose to that of poetry; or show the relation of the later to the ancient usage. The reproduction of such minutiae from a commentary of tolerably certain date furnishes material of special value, material the source of which is to be sought chiefly in the Greek Lexica, whose history is now zealously studied. It may also assist in establishing the interrelation of MSS. of different ages.

Scholia and glosses are as sharply distinguished in N as in MSS. of Aristophanes containing Byzantine commentary. Some interlinear matter, as far as substance is concerned, might have been placed in the margin, but normally such comment deals with the explanation of vocabulary. There are, I think, no cases where a scholium has an interlinear beginning as in Vat. 1294 of Aristophanes. Intramarginal glosses by the first hand do not occur unless we include such indications as *διήγησις*, *προκατάστασις*. Glosses and scholia often agree in N, as in the case of other MSS., e.g. Ambr. 886. The scholium may take up the gloss or the gloss may derive from the scholium or from a lexicon. There are some forty cases of two glosses (one generally very brief) on the same word or phrase. These I have indicated by a vertical line sepa-

rating the two. Statements about various readings are contained in the body of the scholia and are never indicated by an interlinear or marginal *γρ*.

Though I am not concerned to present a study of the writing and the language of the commentary, a few matters on this score may find a place here, together with certain others of a different kind.

Confusion of unaccented *ω* with *ο*, due to stress accent, is not uncommon: *πλανομένη* 565, but correct in 608; *προσταλαιπορεῖν* 968, but correct in 94; *ἀμφοτέροθεν* 1044, *οὐδέπο* 1002, *ἀλαζωνεία* appears in 1034, *ἀλαζονεία* in 1037. Confusion of *αι* with *ε* is rare: *θαρσαλαίως* 731, Μέγερα 576. *ει* and *η* (*ῃ*) are of course often confounded: *ἰσχναίνει* 381 after *μαλθάσσῃ* 380, *χαλεπαινεῖ* after *βαρυνθῇ* 390. *ὀχλῆς* of the text in 1001 is glossed by *ἐνοχλεῖς*. *πηναῖς* for *ποιναῖς* occurs twice (112, 223). Iota subscript is more often omitted than supplied; but -*ᾷν* is preferred to -*ᾶν* in the infinitive. *ζῶον* is always written thus.

ἐλάττων and *ἐλάσσων*, *περιττός* and *περισσός* occur, sometimes in the same paragraph. *ἀγγύλους* is written for *ἀγκύλους* in 488, as *ἀγγάλη* in the text in 1019 for *ἀγκάλη*. *ἀστενεστέρα* appears in 514.

διόλου διόλως, *ἐπιπολύ*, *καταπολύ* are regularly so written. *διατοῦτο* occurs (993, 1052), but *διὰ τοῦτο* is also found, and so always *διὰ ταῦτα*, *διὰ παντός*. *τοπαράπαν* is found 215, 898, *τοεξῆς* 683, *τοπᾶν* 215 (in the text), *ἐξαρχῆς* 998; but *τὸ ἐξῆς* 1057.

Wrong accentuation is not uncommon: *ἄθλον* 702, 934, 1022, *εὐδαῖμον* 647, *γύπα* 286, 392 (*γρύπας* in the text, 804), *χαλκάς* 799, *ποίου* 508, *φᾶναι* 1032. *θίγων* 849 is regarded as a present, as in the *Christus Patiens* (cf. *ὄφλειν*, *ὄφλων*). The scribe prefers *ᾧτινι*, e.g. 159, 915, 933, and almost constantly writes *μὴ δέ*, e.g. 526, 533, 583, 741, 776, 950, and *μὴ δάμα*, e.g. 526. As regards enclitics, there is much irregularity: such accentuations as *λῦσαι με* (332), *οὐδὲν τι* (62) *πρᾶγμα ἐστί* (298), *οὗτος φησίν* (342), *οἵτινες εἰσὶν* (490), *κεραυνῶν εἰσὶ* (359), etc. are common. *ὥσπέρ τινι* (241) is more probably a slip than a recollection of an old usage (cf. Wackernagel, *Beiträge zur Lehre vom gr. Akzent*, p. 251). *τίς* and *τὶς* are not always differentiated. I have adopted the modern style throughout in all passages where the reading is unmistakable. The scribe has *ἔστε* for

ἔστε invariably, I believe. εἶσαν is found in 451. Over non-Attic ᾱ of the text, both in radical and inflectional syllables, the scribe has inserted H in at least forty cases.

Unattested in the Lexica are ἀντιστρόφως 823, ἀναμυκάομαι 743, κομπορρημονέω 327. Late forms are ἔσο 327, κρυβήσομαι 1019; κραθῆναι in 511 may not be the correct reading; at least we find κρανθήσομαι in 911. λαός appears in 827.

As regards syntax, we may note the frequent use of αὑτοῦ for the reflexive; the genitive with πρός in τῆς πρὸς τῶν θεῶν τιμῆς in the last line of the second scholion on 526; the use of the optative without ἄν in the scholia on 526 (first scholion, l. 8), 791, 887 (l. 7), whereas ἄν is added in a like phrase 159 (l. 8); the conditional forms εἰ νοήσει, εὑρήσειεν 682 and εἰ εἴποις, πέμψει 950, ἂν δόξω 386, ἂν ἐμπέσῃ 926 unless this is miswritten for ἐμπέσοι, as is ἡμερῇ for ἡμεροῖ 379. τοῦτο οὕτως εἴποις occurs 1057, but elsewhere, e.g. 62, 400, 421, 538, 682, 762, the imperative is used in similar locutions. Confusion of opt. with subj. occurs in 697, where the text of N, and of three late MSS., has προσμάθοις; in 535 ῥεύσῃ follows πανθείη. A future indic. is glossed by an optative in 103, 1025, and by a subjunctive in 808.

